







Wissenschaftliche Beilage zum Programm des Königstädtischen Gymnasiums. Ostern 1882.

GALENI

QUI FERTUR

DE PARTIBUS PHILOSOPHIAE LIBELLUS

PRIMUM EDIDIT

EDUARDUS WELLMANN.



BEROLINI
APUD WEIDMANNOS
MDCCCLXXXII.

PRAEFATIO

Apud Bandinium in catalogo codicum manu scriptorum bibl. Mediceae Laurentianae vol. II col. 314 leguntur haec: „plut. 56 cod. 15 (membr. ms. in 12. sc. XV) p. 206[b] *τοῦ αὐτοῦ* (*Γαληνοῦ*) *περὶ εἰδῶν φιλοσοφίας.* incipit *εἰς θεωρητικὸν καὶ πρακτικόν.* desinit imperfecte in verbis *ἐμέτρουν τὴν γῆν καὶ ἐσ*.... inter operum Galeni inscriptiones a Fabricio per ordinem alphabeti digestas (bibl. graec. vol. III p. 528 sqq.) hic titulus non apparet". quem librum cum H. Diels, vir doctissimus mihique amicissimus, dum ante decem annos Galeni Historiae philosophae libros manu scriptos Florentiae perscrutatur, inspexisset, haud indignum qui ederetur iudicavit et quod tum faciendum curaverat exemplum meum in usum permisit. neque invitus eam rem suscepi. nam primo obtutu apparet librum, etsi per se ipse non magni momenti sit, tamen ita cum quaestionibus saepe in philosophorum scholis agitatis cohaerere, ut ad eam memoriam quae ad institutionem philosophiae pertinet illustrandam non nihil facere videatur. ita enim consentit et cum Davidis Armenii prolegomenis eo loco quo de philosophiae partibus agitur et cum eis quae in Ammonii Hermiae commentario quem scripsit in Porphyrii quinque voces leguntur fol. 10[r]—14[r] edit. Venet. (a. 1545), ut in scholis id commentarium unde Galeniana fluxerunt frequentatum esse appareat. quae cum ita sint, hac edendi facultate oblata operae pretium videtur libellum una cum similibus Davidis et Ammonii capitibus in lucem emittere, praesertim cum ea quae Brandis (schol. in Aristot. p. 12—16) consulto mutila ediderat e codicibus liceat explere.

Exstant autem codices, quibus Galeni de partibus sive formis (ut ait Cicero topic. 1, 30) philosophiae libellus continetur, quantum cognovi duo, alter is quem supra commemoravimus Laurentianus 56, 15, alter Parisinus 2176, qui cum in eandem atque ille litteram enuntiato interrupto media in pagina desinat iisdemque mendis sit inquinatus (ut Platonis verba § 8 ab utroque in eundem modum deformata traduntur), quin ex Laurentiano descriptus sit dubitari non potest[1]). Davidis prolegomena, quoad cum Galeni libello congruunt, e codice Vaticano 1470 expleta cum Marciano 599 (quem Brandis l. l. p. 12 cum 202 confudisse videtur) diligentissime contulit E. Schwartz. Propter lectionis praestantiam Marciani exemplum, quamvis multum sit additum

[1]) cf. Diels Doxograph. p. 258[1]: „descripsit in usum meum amice Aeneas Piccolomini comes Senensis ex cod. Laur. LVI 15. ex eo in fine mutilato descriptus est cod. Parisinus 2176 quem Ch. Graux conlatum liberalissime mecum communicavit. gemello exemplo et integro eo usus est David prolegom. inde a pag. 15[a] 46 Br., quod melius intellexi postquam Guilelmus Meyerus Spirensis lacunas Brandisianae editionis ex codice Vaticano gr. 1470 sc. XI vel XII propensa mihi voluntate explevit".

sterioris doctrinae, imprimis secuti sumus. Ammonii locus desumptus est ex editione Veneta 1545) ratione habita discrepantiae codicis Monacensis 222 ab H. Diels conlati.

Priusquam de fide inscriptionis dicamus, placet brevi argumentum scriptionis praeponere. m duae sint partes universae philosophiae, quarum altera in rerum contemplatione altera in ione versatur, aliter Plato aliter Aristoteles illam diviserunt. etenim cum Plato physicis et theoicis totam contineri neque mathematicis in ipsa philosophia locum esse censeret, Aristoteles ıtra tres eius partes esse voluit, physicam mathematicam theologicam, atque vere is quidem, ia ipsam naturam rerum secutus est. quae eadem satis videtur praecipere, ubi quaeque rs sit collocanda. primum enim locum obtinent physica, medium mathematica, ultimum theologica. que mirum quod media illa pars potissimum appellatur mathematica quasi sola sit ad discendum ta, nam quacunque ratione nomen explicaveris, neque physicis rebus neque theologicis aptum e apparebit. Iam vero de mathematicis quinque capitulis accuratius exponitur primum, quot quae sint partes, deinde quamobrem tot, tum in quem ordinem redigendae, post a quibus sinlae inventae, extremum quae disciplinae his mathematicis sint finitimae et proximae. partes tem mathematicae quattuor sunt et eo ordine collocandae, ut arithmeticam sequatur musica, nc geometria, geometriam astronomia. et invenerunt quidem arithmeticam Phoenices, musicam races, geometriam Aegyptii. astronomia vero cuius populi inventum sit, apud Galenum hodie n legimus propterea quod eo ipso loco, quo de Aegyptiis geometriae auctoribus agitur, oratio rumpitur et reliqua pars libelli quae de inventione astronomiae futura erat deest. licet conicere riptori in animo fuisse de activa quoque philosophiae parte pauca adicere, quibus omissis quaeoni propositae satisfactum non esset. habemus enim haec omnia servata apud Davidem. que ex prolegomenis eius adieci quaecunque in integro Galeni libello olim exstitisse videntur.

Ut ex hoc conspectu Galeni celeberrimi illius medici eiusdemque philosophi originem parum obari apparet, ita aliis rationibus personam eius indui certo evinci potest. omitto quod nullus ius vel similis argumenti liber a Galeno in indice scriptorum suorum (*περὶ τῶν ἰδίων βιβλίων*, l. XIX p. 8—61 ed. Kuehn.) commemoratur[1]), quod genus dicendi quam maxime abhorret ab tione Galeni, praesertim cum vocalium concursus non vitetur[2]): unum dico non Platonis solum sed am Plotini quaedam verba laudari § 8. itaque si in Neoplatonicorum scholis personatum illum lenum quaesiveris, haud procul a vero aberrabis. nam ut sermo eius a medici illius elegantia rsus distat, ita simillimus est scholastico generi, quo Ammonii Simplicii Davides utuntur.

Ad aetatem scriptoris definiendam illud facit, quod sicut dixi cum Ammonio Simplicio vide, infimae antiquitatis scriptoribus, mirum quantum consentit. sed ne eorum quidem oration scite adhibuit. quid enim molestius quam *ἐπειδὴ* et *γὰρ* sescenties repetita aut putida illa taedium usque iterata magistellorum vocabula *ἰστέον ὅτι* vel *ταῦτα μὲν ἐν τούτοις* vel *τούτων ν οὕτως ἐχόντων ἔλθωμεν καὶ εἴπωμεν?*

Neque vel cursim legentem effugere potest scriptionem cum Davidis loco non sententiis do sed etiam ad verbum ita congruere, ut eiusdem libri exemplum brevius et ieiunius Pseudoenus, longius atque magis cohaerens sed haud semel alienis additamentis auctum David praebeat.

---

1) quae leguntur in codice Paris. 1310 fol. 444b (cf. Rose Aristot. pseudepigr. p. 260) '*ἰστέον ὅτι ἐν τοῖς λοις τῶν περὶ γαληνὸν περὶ εἰδῶν ... εὑρέθη ἐν τῇ κύπρῳ νήσῳ ὅτι ἔστιν ὄρος ... τρόγοδος καλούμενον*' spectent non intellego.

2) quem a Galeno diligentissime vitatum esse monuit Diels (Jen. Lit. Zeit. 1875 nr. 138).

Easdem res eodem fere capitum ordine Ammonius quoque et anonymus quidam scriptor (cf. Brandis schol. Aristot. p. 8 s., Cramer anecd. Paris. IV p. 420 ss.) in prolegomenis ad Porphyrii V voces conscriptis tractaverunt. agitur enim de partibus universae philosophiae, de artis mathematicae dignitate et loco ab utroque, de singularum eius partium serie et inventione ab Anonymo quidem solo, sed identidem vel hic vel ille vel uterque cum Pseudo-Galeno et Davide ipsis vocabulis et exemplis consentit. quae cum ita sint, quattuor illi scriptores ex eodem quasi fonte hausisse videntur, cuius maxime propria pars erat de partitione mathematicorum. hinc fit ut mathematici quoque eadem partitione utantur, velut Nicomachus Gerasenus, cuius auctoritatem postea in his rebus Iamblichus Anatolius Proclus alii Neoplatonici imprimis sequebantur. itaque auctorem veteris illius libri, a quo hi quattuor universam scribendi materiam mutuati sunt, in Neopythagoreorum vel Neoplatonicorum scholae umbraculis quaerendum esse arbitror. quaecunque similia apud alios inveni (et possunt multa me fugere) extremae huic scriptioni adieci.

ΓΑΛΗΝΟΥ ΤΟΥ ΙΑΤΡΟΥ ΠΕΡΙ ΕΙΔΩΝ ΦΙΛΟΣΟΦΙΑΣ

[illegible] τῆς φιλοσοφίας διαφερομένης ἄλλως ὁ Πλάτων [illegible] Ἀριστοτέλης [illegible]. ὁ μὲν οὖν Πλάτων εἰς φυσιο- [illegible] τὸ γὰρ μαθηματικὸν οὐκ ἠβούλετο εἶναι μέρος [illegible] ἡ γραμματικὴ καὶ ἡ ῥητορική· ὅθεν καὶ πρὸ [illegible] 'ἀγεωμέτρητος μηδεὶς εἰσίτω'. τοῦτο δὲ ὁ Πλάτων [illegible] καταγίνεται· συμβάλλεται [illegible], ὁποῖός ἐστιν ἡ γεωμετρία. Ἀριστοτέ- [illegible] μαθηματικὸν καὶ θεολογικόν· καὶ [illegible] εἶναι· καὶ γὰρ τοῦτο ἐπιστήμη [illegible] τουτέστιν εἰς φυσιολογικὸν μαθη- [illegible] πάντα τα ὄντα ὑπόκειται πρὸς γνῶσιν. [illegible] ἔνυλά εἰσιν· οὐδὲ γάρ τις [illegible] τῇ ἐπινοίᾳ ἄυλά εἰσιν [illegible] καὶ τῇ ὑποστάσει καὶ τῇ ἐπινοίᾳ [illegible] ψυχὴν ἄνευ σώματος οὖσαν ἔνυλον. [illegible] ὥσπερ τὰ σχήματα· καὶ γὰρ ταῦτα [illegible] τρίγωνον ἢ τετράγωνον ἢ τι τοιοῦτον [illegible] τὴν ὑπόστασιν ἢ ἐν λίθῳ· τῇ δὲ ἐπινοίᾳ [illegible] τὸ σχῆμα αὐτὸ καθ' αὑτό, ἀνετύ- [illegible] ὥσπερ γὰρ ὁ κηρὸς ἀναματτόμενος τὴν σφραγῖδα ἀπὸ [illegible] τὴν σφραγῖδα ἀπὸ τοῦ δακτυ- [illegible] τὰ σχήματα οὐκ ἀφαιρεῖταί τι ἐκ τῆς [illegible] ἐν ἑαυτῇ. ἐπειδὴ οὖν τῷ θεω- [illegible] ὡς εἴρηται, τριττά ἐστι, τού- [illegible] εἰς φυσιολογικὸν μαθηματικὸν καὶ [illegible] περὶ τὰ τῇ ὑποστάσει καὶ τῇ [illegible] τὸ δὲ θεολογικὸν καταγίνεται [illegible] τὸ δὲ μαθηματικὸν καταγίνεται περὶ τὰ [illegible]

1 [illegible] — Parisin. 2178.
10 [illegible] PL 27 στοιχείων L

Ἔλθωμεν τοίνυν καὶ εἴπωμεν περὶ τῆς τάξεως αὐτῶν. ἰστέον ὅτι τὸ φυσιολογικὸν 5
πρώτην ἔχει τὴν τάξιν ὡς σύντροφον καὶ πλησιάζον ἡμῖν ἅτε δὴ πάντῃ ἔνυλον ὄν· τὸ δὲ
μαθηματικὸν μέσον ἐστὶ τοῦ τε φυσιολογικοῦ καὶ τοῦ θεολογικοῦ ὡς καὶ τῶν δύο
μετέχον· καὶ γὰρ καὶ ἔνυλόν ἐστιν ὁμοίως τῷ φυσιολογικῷ καὶ ἄυλον ὁμοίως τῷ θεολογικῷ·
ὡς γὰρ εἴρηται, τὸ μαθηματικὸν τῇ μὲν ὑποστάσει ἔνυλόν ἐστι τῇ δὲ ἐπινοίᾳ ἄυλον. τὸ 6
δὲ θεολογικὸν καὶ ἐξ ἀνάγκης ὕστερόν ἐστιν. οὐδὲ γὰρ δύναται μετὰ τὸ φυσιολογικὸν
εἶναι, ἐπειδὴ οὐ δεῖ ἀπὸ τῶν πάντῃ ἐνύλων εὐθέως ἐπὶ τὰ πάντῃ ἄυλα φέρεσθαι· ἐπειδὴ
πάσχομεν ὅπερ οἱ πολὺν χρόνον μένοντες ἐν τῇ σκοτίᾳ καὶ εὐθέως πρὸς τὸν ἥλιον θεω-
ροῦντες· οὗτοι γὰρ ἀποτυφλώττονται· οὕτως οὖν οὐ δεῖ ἀπὸ τῶν πάντῃ ἐνύλων εὐθέως
ἐπὶ τὰ πάντῃ ἄυλα φέρεσθαι. τοῦτο γὰρ αἰνισσομένη ἡ ποίησις λέγει περὶ Ὤτου καὶ 7
Ἐφιάλτου, οἳ τὴν ‘Ὄσσαν ἐν Ὀλύμπῳ μέμασαν θέμεν, ἵν’ οὐρανὸς ἄμβατος εἴη’. καὶ κατὰ
μὲν τὸ φαινόμενον τοῦτο λέγει ὅτι ὁ Ὦτος καὶ ὁ Ἐφιάλτης ἠθέλησαν θεῖναι τὴν Ὄσσαν
ἐπάνω τοῦ Ὀλύμπου βουλόμενοι μηχανήσασθαι τὴν οὐράνιον ἄνοδον, ἀλληγορικῶς δὲ
νοοῦμεν ταῦτα οὕτως ὅτι ἐκεῖνοι εὐθέως ἀπὸ τῶν φυσικῶν καὶ πάντῃ ἐνύλων πραγμάτων
ἐπὶ τὴν γνῶσιν τῶν θείων ἠβουλήθησαν ἐπιπηδῆσαι. ἀπὸ οὖν τοῦ μαθηματικοῦ δεῖ ἐπὶ
τὸ θεολογικὸν ἔρχεσθαι. ὅτι δὲ τοῦτο ἀληθές ἐστι, δηλοῖ Πλάτων περὶ τοῦ μαθημα- 8
τικοῦ διαλεγόμενος καὶ λέγων ὅτι ‘αὕτη ὁδός, ταῦτα μαθήματα † οὔτε ῥάδια ἔπεα· χαλεπὰ
ταῦτα ἰστέον ἀμελεῖν οὐ δεῖ’, τουτέστιν ὅτι ὁδῷ κεχρημένοι τοῖς μαθήμασι διὰ τούτων
βαδίσαι ἐπὶ τὸ θεολογικόν. καὶ ὁ Πλωτῖνος δὲ δηλοῖ τοῦτο λέγων· παράδοτε τοῖς νέοις
τὰ μαθήματα πρὸς συνηθισμὸν τῆς ἀσωμάτου φύσεως· ὧν τὴν ἀσώματον φύσιν γινώσκει.
ἰστέον ὅτι ἔοικε τὰ μαθήματα κλίμακι καὶ γεφύρᾳ· ὥσπερ γὰρ ἐν τῇ κλίμακι ἀπὸ τῶν 9
κάτω ἐπὶ τὰ ἄνω ἐρχόμεθα καὶ ἐν γεφύρᾳ ἀπὸ τοῦδε τοῦ μέρους εἰς τὸ ἐξ ἐναντίας μέρος
ἐρχόμεθα, οὕτω καὶ διὰ τοῦ μαθηματικοῦ ἐπὶ τὸ θεολογικὸν ἐρχόμεθα. ταῦτα μὲν ἐν
τούτοις. ἀποροῦσι δέ τινες λέγοντες· εἰ ἄρα οὐ μόνον τὸ μαθηματικὸν μανθάνεται 10
ἀλλὰ καὶ τὸ φυσιολογικὸν καὶ τὸ θεολογικόν, διὰ τί τοῦτο μόνον λέγεται μαθηματικόν;
καὶ ἐπιλύονται ὅτι τὸ φυσιολογικὸν οὐ δύναται λέγεσθαι μαθηματικόν, ἐπειδὴ τοῦτο
πάντῃ ἔνυλον καὶ ἀεὶ ἐν ῥοῇ καὶ ἀπορροῇ ὂν καὶ ἄλλοτε ἄλλως ἔχον οὐχ ὑποπίπτει ἀκριβεῖ
γνώσει, ἀλλὰ τυχὸν σήμερον μὲν τοιῶσδε γινώσκεται αὔριον δὲ τοιῶσδε διὰ τὸ ἀλλοίως
ἔχειν. ἀλλ’ οὔτε τὸ θεολογικὸν δύναται λέγεσθαι μαθηματικόν, ἐπειδὴ τὰ θεῖα ἅτε δὴ 11
ἀκατάληπτα καὶ ἀόρατα ὄντα εἰκασμῷ μᾶλλον γινώσκεται ἤπερ ἀκριβεῖ γνώσει. ἐξ ἀνάγκης
οὖν τοῦτο λέγεται μαθηματικὸν μόνον. ἄλλως τε δὲ διὰ τοῦτο αὐτὸ μόνον λέγεται μα- 12
θηματικόν, ἐπειδὴ αὐτὸ διδάσκει ἡμᾶς, πῶς δεῖ μανθάνειν τὰ πράγματα· εἰ γὰρ καὶ ἐν
τῇ λογικῇ τοῦτο ἡμᾶς διδάσκει ὁ Ἀριστοτέλης, ἀλλ’ οὖν ἐκ τοῦ μαθηματικοῦ ἔλαβε τὴν
ἀφορμήν. ἔτι δέ, ὡς φασιν οἱ Πυθαγόρειοι, διὰ τοῦτο μόνον λέγεται μαθηματικόν, 13
ἐπειδὴ ἐν τῇ διανοίᾳ ἔχει τὴν ὕπαρξιν· μόνη γὰρ ἡ διάνοια μανθάνει· ὁ γὰρ νοῦς ἁπλῇ
προσβολῇ πάντα γινώσκει.
Πέντε δὲ κεφάλαια ἔχομεν περὶ τοῦ μαθηματικοῦ εἰπεῖν. καὶ πρῶτον μέν ἐστι 14
κεφάλαιον, ἐν ᾧ λέγομεν, πόσα καὶ ποῖα εἴδη εἰσὶ τοῦ μαθηματικοῦ· δεύτερον, διὰ τί
τοσαῦτά εἰσι· τρίτον, ἐν ᾧ λέγομεν τὴν τάξιν αὐτῶν· τέταρτον, τίνος εἰσὶν εὑρήματα·
πέμπτον, τίνα παράκειται τούτοις τοῖς εἴδεσιν.

---

3 δύο] δευτέρων notam β̄ perperam interpretati LP cf. David 9 ἀποτυφλώττονται L ut Alexander Aphrod. probl. 1, 151: ἀποτυφλοῦνται P 12 θῆναι LP 17—19 de vera lectione cf. David 18 τούτων P: τοῦτο L 22 ἐναντίας P: ἐναντίου L

Εἴπωμεν δὲ τὸ πρῶτον, πόσα καὶ ποῖα εἴδη εἰσὶ τοῦ μαθηματικοῦ. εἰσὶ δὲ ταῦτα· ῥιθμητικὴ μουσικὴ γεωμετρία ἀστρονομία. ἔλθωμεν δὲ καὶ ἐπὶ τὸ δεύτερον, διὰ τί σαῦτα εἴδη εἰσὶ τοῦ μαθηματικοῦ. ἰστέον ὅτι τὸ μαθηματικὸν περὶ τὸ ποσὸν καταγίνε-ι. ἢ γὰρ περὶ τοὺς ἀριθμοὺς καταγίνεται ὥσπερ ἡ ἀριθμητική· τοῦτο γὰρ ποσόν ἐστιν· περὶ τὰς σχέσεις τῶν φθόγγων ὥσπερ ἡ μουσική· καὶ τοῦτο δὲ ποσόν ἐστι· ζητεῖ γὰρ οῖαι τὸν διπλάσιον λόγον ἔχουσι καὶ ποῖαι τὸν ἐν ἡμιολίῳ· ἢ περὶ τὰ σχήματα τῆς γῆς ιταγίνεται ὥσπερ ἡ γεωμετρία· καὶ τοῦτο δὲ ποσόν ἐστιν· ἢ περὶ τὴν κίνησιν τῶν οὐρα-ων σωμάτων· καὶ τοῦτο δὲ ὁμοίως ποσόν ἐστιν· ἔχουσι γάρ τινα διαστήματα. γνωσθέν-ον τοίνυν τῶν μαθηματικῶν ὅτι περὶ τὸ ποσον καταγίνονται, δεῖ γινώσκειν ὅτι τὸ ποσὸν ιττόν ἐστιν· ἢ γὰρ συνεχές ἐστιν ἢ διωρισμένον. καὶ συνεχὲς μὲν ποσόν ἐστιν, οὗ τὰ όρια εἰς ἕνα ὅρον συνάπτονται ὥσπερ τοῦ τοίχου· οὗτος γαρ συνεχὲς ποσόν ἐστιν. καὶ ὲρ ἐὰν τέμῃς τοῦτον δυνάμει εἰς πολλοὺς τόπους, πάντα τὰ μόρια τὰ τμηθέντα εἰς ἕνα ρον συνάπτονται· καὶ γὰρ τοῦτο τὸ τμῆμα μετὰ τοῦ ἄλλου συνημμένον ἐστὶ διὰ τῆς ραμμῆς τῆς νοητῶς παραληφθείσης ἐν τῷ γενέσθαι τὴν τομήν. καὶ γὰρ ἡ γραμμὴ ἡ δυ-άμει τὴν τομὴν ποιήσασα μεταξὺ τῶν δυνάμει τμηθέντων ἐστίν· εὑρίσκεται γὰρ τόδε τὸ ρος συναπτόμενον τῇ γραμμῇ καὶ τὸ ἄλλο τῇ γραμμῇ καὶ διὰ τῆς γραμμῆς συνάπτονται λήλοις. δυνάμει γὰρ τῇ τομῇ καθυπεβλήθησαν, οὐ μὴν ἐνεργείᾳ, ἵνα χωρισθῶσιν ἀλλή-ων. διωρισμένον δὲ ποσόν ἐστι τὸ διακεχωρισμένον καὶ μὴ ἔχον τι μεταξὺ τὸ ὀφεῖλον νάφειαν ποιήσασθαι τοῦδε πρὸς τόδε ὡς ἐπὶ τῶν ἀριθμῶν. καὶ γὰρ ὁ ῑ ἀριθμὸς κεχω-σμένος ἐστίν. εἴτε γὰρ ἀπὸ μονάδων λάβῃς αὐτὸν συγκείμενον εἴτε ἀπὸ τοῦ ε̄, οὐκ ἔχει λον ἀριθμὸν μεταξὺ τὸν ὀφείλοντα συνάφειαν τοῦδε τοῦ ἀριθμοῦ ποιήσασθαι πρὸς τὸν ῑ. ν γὰρ προσλάβῃ ἄλλον ἀριθμόν, εὑρίσκεται ἐκπίπτων τοῦ ῑ μείζων γιγνόμενος. καὶ ύτων διττὸν ἑκάτερόν ἐστι· τοῦ γάρ τοι διωρισμένου ποσοῦ τὸ μέν ἐστι καθ' αὑτό, τὸ κατὰ σχέσιν. καὶ καθ' αὑτὸ μέν, ὡς ὅταν τοὺς ἀριθμοὺς αὐτοὺς καθ' αὑτοὺς λάβωμεν ν τὸν ι αὐτὸν καθ' αὑτὸν λάβωμεν καὶ μὴ ἐξετάσωμεν πρὸς ἄλλον ἀριθμόν. κατὰ σιν δέ, ὡς ὅταν τόνδε τὸν ἀριθμὸν ἐξετάσωμεν πρὸς τόνδε οἷον τὸν ῑ πρὸς τὸν ε̄, ὅτι πλασίονα λόγον ἔχει πρὸς τὸν ε̄. καὶ τὸ συνεχὲς δὲ ποσὸν διττόν ἐστι· τὸ μὲν γὰρ νητον, τὸ δὲ κινητόν. καὶ ἀκίνητον μὲν ὥσπερ ἡ γῆ· οὐδὲ γὰρ ἀπέρχεται ἐκ τοῦδε εἰς δε τὸν τόπον αὕτη· κινητὸν δὲ ὥσπερ ὁ οὐρανός· οὗτος γὰρ ἀεὶ κινεῖται. ἐπειδὴ οὖν μαθηματικὸν περὶ τὸ ποσὸν καταγίνεται (τὸ δὲ ποσόν, ὡς εἴρηται, διττόν ἐστιν· ἢ γὰρ εχές ἐστιν ἢ διωρισμένον· ἑκάτερον δὲ τούτων διττόν ἐστιν· ἔστι γὰρ ποσὸν διωρισμένον ' αὑτὸ καὶ ποσὸν διωρισμένον κατὰ σχέσιν καὶ ποσὸν συνεχὲς ἀκίνητον καὶ ποσὸν συν- κινούμενον), τούτου χάριν πρὸς ἀναλογίαν τῶν τεσσάρων τούτων τῶν συναγομένων τοῦ ποσοῦ τοῦ διωρισμένου καὶ τοῦ συνεχοῦς τέσσαρά εἰσιν εἴδη τοῦ μαθηματικοῦ οἷον θμητικὴ μουσικὴ γεωμετρία ἀστρονομία. καὶ ἡ μὲν ἀριθμητικὴ καταγίνεται περὶ τὸ όν τὸ διωρισμένον τὸ καθ' αὑτό· ἡ δὲ μουσικὴ περὶ τὸ ποσὸν τὸ διωρισμένον τὸ κατὰ ιν· ἡ δὲ γεωμετρία περὶ τὸ ποσὸν τὸ ἀκίνητον το συνεχές· ἡ δὲ ἀστρονομία περὶ τὸ όν τὸ συνεχὲς τὸ κινούμενον.

---

5 *ποσόν* P: *μέσον* L 10 *ἢ γὰρ συνεχές ἐστιν* om. P 10 *τὰ* L: *γὰρ* P 15 *δυνά* L: sed in marg. *δυνάμει* P 17 *καθυποβλήθησαν* LP 19 *ῑ* scripsi: *δέκατος* hic et infra PL: *δέκα* David 20 *ε̄*: *πέμπτου* hic et infra PL 22 *μείζων* P: *μείζωνος* L 31 *τούτων* P: *τοῦτο* L

Ἰστέον δὲ ὅτι ἡ ἀριθμητικὴ καὶ ἡ μουσικὴ προτερεύουσι τῆς γεωμετρίας καὶ τῆς 22
ἀστρονομίας, ἐπειδὴ ἡ μὲν ἀριθμητικὴ καὶ ἡ μουσικὴ περὶ τὸ ποσὸν τὸ διωρισμένον κατα-
γίνεται, ἡ δὲ γεωμετρία καὶ ἡ ἀστρονομία περὶ τὸ ποσὸν τὸ συνεχές· τιμιώτερον δὲ τὸ
ποσὸν τὸ διωρισμένον τοῦ ποσοῦ τοῦ συνεχοῦς. καὶ γὰρ τὸ ποσὸν τὸ διωρισμένον 23
δύναται ἀσυγχύτως δέξασθαι διάφορα εἴδη. ἰδοὺ γὰρ ὁ κε̅ ἀριθμὸς ποσὸν διωρισμένον
δέχεται ἀσυγχύτως διάφορα εἴδη· ἔστι γὰρ καὶ κύκλος καὶ τετράγωνον. καὶ κύκλος μέν,
ὅτι ὥσπερ ἐν τῷ κύκλῳ ἡ ἀρχὴ συνάπτεται τῷ πέρατι, οὕτω καὶ ἐνταῦθα ἄρχεται ἀπὸ
τοῦ ε̅ ἐν τῷ πολυπλασιασμῷ καὶ εἰς τὸ αὐτὸ λήγει ἀποτελούμενος, οἷον πεντάκις πέντε
εἴκοσι πέντε ἰδοὺ καὶ ἀπὸ τοῦ ε̅ ἄρχεται καὶ ἀποτελούμενος εἰς τὸν ε̅ λήγει. τετράγωνον
δὲ λέγεται, ἐπειδὴ πᾶς ἀριθμὸς πολυπλασιαζόμενος τετράγωνον ἀριθμὸν ἀποτελεῖ, οἷον
τρὶς τρεῖς ἐννέα, τετράκις τέσσαρες ἑκκαίδεκα· οὕτως οὖν καὶ πεντάκις πέντε εἴκοσι πέντε.
τὸ δὲ ποσὸν τὸ συνεχὲς οὐ δύναται ἀσυγχύτως διάφορα εἴδη ἐπιδέξασθαι. ἰδοὺ γὰρ ἐν 24
τῷ κηρῷ, ὅπερ ἐστὶ συνεχὲς ποσόν, ἐάν τις ποιήσῃ εἶδος Ἕκτορος, οὐ δύναται ποιῆσαι
ἄλλο εἶδος, εἰ μὴ ἀφανισθῇ τὸ πρῶτον εἶδος, ἐπεὶ σύγχυσις γίνεται. ἐπειδὴ οὖν τὸ ποσὸν
τὸ διωρισμένον τιμιώτερόν ἐστι τοῦ ποσοῦ τοῦ συνεχοῦς, τούτου χάριν καὶ ἡ ἀριθμητικὴ
καὶ ἡ μουσικὴ ὡς περὶ τὸ ποσὸν τὸ διωρισμένον καταγινόμεναι προτερεύουσι τῆς γεωμε-
τρίας καὶ ἀστρονομίας ὡς τούτων περὶ τὸ ποσὸν τὸ συνεχὲς καταγινομένων. ἡ δὲ ἀριθμη- 25
τικὴ προτερεύει τῆς μουσικῆς, ἐπειδὴ ἡ μὲν ἀριθμητική, ὡς εἴρηται, περὶ τὸ ποσὸν τὸ καθ'
αὑτὸ καταγίνεται, ἡ δὲ μουσικὴ περὶ τὸ ποσὸν τὸ κατὰ σχέσιν. προτερεύει δὲ ⟨τὸ⟩ καθ'
αὑτὸ τοῦ κατὰ σχέσιν, ἐπειδὴ πρῶτον δεῖ ἁπλῶς τι εἶναι καὶ τότε ἐν σχέσει πρὸς ἕτερον
λαμβάνεσθαι. ἡ δὲ γεωμετρία προτερεύει τῆς ἀστρονομίας, ἐπειδὴ ἡ μὲν γεωμετρία 26
περὶ τὸ ποσὸν τὸ συνεχὲς τὸ ἀκίνητον καταγίνεται, ἡ δὲ ἀστρονομία περὶ τὸ ποσὸν τὸ
συνεχὲς τὸ κινούμενον· προτερεύει δὲ τὸ ἀκίνητον τοῦ κινουμένου· ἀρχὴ γὰρ κινήσεως
ἠρεμία ἐστίν· ὁ γὰρ μέλλων κινεῖσθαι ἀπὸ ἠρεμίας προέρχεται. αὕτη οὖν ἡ αἰτία τῆς
τάξεως αὐτῶν. ἔστι δὲ καὶ ἄλλη αἰτία, ἐπειδὴ οὕτως ἀναλογεῖ ἡ μὲν ἀριθμητικὴ τῇ 27
μονάδι, ἡ δὲ μουσικὴ τῇ δυάδι, ἡ δὲ γεωμετρία τῇ τριάδι, ἡ δὲ ἀστρονομία τῇ τετράδι.
πρὸς ἀναλογίαν οὖν τῆς τάξεως αὐτῶν τῶν ἀριθμῶν ἐκτήσαντο ταύτην τὴν τάξιν. ἀναλογεῖ
γὰρ ἡ ἀριθμητικὴ τῇ μονάδι· περὶ γὰρ τὸ καθ' αὑτὸ ποσὸν καταγίνεται, ὅτι τὸ καθ' αὑτο
ἕν ἐστιν· ἡ δὲ μουσικὴ τῇ δυάδι, ὅτι περὶ τὸ ἐν σχέσει ποσὸν καταγίνεται, ἡ δὲ σχέσις
τὸ ἐλάχιστον ἐπὶ δύο λαμβάνεται. ἡ δὲ γεωμετρία ἀναλογεῖ τῇ τριάδι· καὶ γὰρ ἡ γεω- 28
μετρία ἐπὶ τὸ ἐπίπεδον σχῆμα καταγίνεται, πρῶτον δὲ σχῆμα τὸ τρίγωνόν ἐστιν· οὔτε γὰρ
μία γραμμὴ οὔτε δύο ἀποτελοῦσι σχῆμα. ἡ δὲ ἀστρονομία ἀναλογεῖ τῇ τετράδι, ὅτι περὶ
τὰ οὐράνια σώματα καταγίνεται. πᾶν δὲ σῶμα τριχῇ ἐστι διαστατόν· ἔχει γὰρ μῆκος πλά-
τος βάθος. ἕκαστον δὲ τούτων ὑπὸ δύο ὅρων περιέχεται· καὶ γὰρ τὸ μῆκος ἔνθεν καὶ
ἔνθεν περιέχεται καὶ τὸ πλάτος ὁμοίως καὶ τὸ βάθος, ὥστε συνάγεσθαι ἓξ ὅρους ἤγουν
πέρατα. ἐκ δὲ τούτων τῶν ἓξ τέσσαρα γίνονται· τὸ γὰρ ἓν πέρας κοινόν ἐστι τῶν δύο·
τὸ γάρ τοι πέρας τοῦ πλάτους εὑρίσκεται ἀρχὴ τοῦ μήκους ἢ τοῦ βάθους. ἐπεὶ οὖν ἡ
ἀστρονομία περὶ τὰ οὐράνια σώματα καταγίνεται, πᾶν δὲ σῶμα τριχῇ διαστατόν ἐστιν,
ὡς εἴρηται, ταῦτα δὲ τέσσαρας ὅρους ἤγουν τέσσαρα πέρατα ἔχουσι, τούτου χάριν λέγουσιν

---

4 *τοῦ πλούτου συνεχοῦς* L 5 *κε̅* recte David: *πέμπτος* PL 17 *ὡς* om. P 19 *τὸ* addidi cf. Dav. p. 14, 26 29 *ἕνεστιν* L *διάδι* L

τὴν τετράδι ἀναλογεῖν. ἔχομεν οὖν, διὰ τί πρώτη ἐστὶν ἡ ἀριθμητικὴ καὶ δευτέρα ἡ υσικὴ καὶ τρίτη ἡ γεωμετρία καὶ τετάρτη ἡ ἀστρονομία.

Ἔλθωμεν δὲ καὶ εἴπωμεν, τίνων εἰσὶν εὑρήματα. ἰστέον ὅτι ἡ ἀριθμητικὴ ὑπὸ ὶν Φοινίκων εὑρέθη ὡς ἐμπορικῶν ὄντων καὶ δεομένων τῶν ἀριθμῶν εἰς τὰς ψήφους. ν δὲ μουσικὴν οἱ Θρᾷκες· ἐκεῖθεν γὰρ ὁ Ὀρφεύς, ὅστις λέγεται εὑρηκέναι τὴν μουσικήν. ιένοησε δὲ ἐμβατήρια μέλη διεγείροντα πρὸς θυμὸν ὡς ἄγαν πολεμικοὺς ὄντας. ἡ γὰρ ῦξις ἀποκλείσασα τὸ θερμὸν ἐν τῷ βάθει δριμύτερον αὐτὸ ποιεῖ, ὅθεν καὶ θυμοειδεῖς σι καὶ πολεμικοὶ τῇ βίᾳ τοῦ θερμοῦ καὶ ὀρχηστικοὶ δὲ διὰ τὰς ἑτοίμους φυγὰς τῶν λῶν. ἔστι γὰρ καὶ πυρρίχειος παρ' αὐτοῖς ὄρχησις, ὅ ἐστιν ἐνόπλιος, κατὰ τὸ εἰρημένον ῷ ποιητῇ

Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα.

ν δὲ γεωμετρίαν οἱ Αἰγύπτιοι εὗρον ἐξ ἀνάγκης. τοῦ γὰρ Νείλου συνεχῶς ἀνιόντος καὶ ν Αἴγυπτον ἐπικλύζοντος σύγχυσις τῶν ὁροθεσίων ἐγίνετο καὶ οἱ Αἰγύπτιοι ἐφόνευον λλήλους καὶ λοιπὸν ἐπενόησαν μέτρον τι δι' οὗ ἐμέτρουν τὴν γῆν καὶ ἐ...

Α ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΠΟ ΦΩΝΗΣ ΔΑΥΙΔ ΤΟΥ ΘΕΟ-ΦΙΛΕΣΤΑΤΟΥ ΚΑΙ ΘΕΟΦΡΟΝΟΣ ΦΙΛΟΣΟΦΟΥ.

Πρᾶξις ιθ'. Ἐπειδὴ τὴν φιλοσοφίαν εἰς θεωρητικὸν καὶ πρακτικὸν διείλομεν, αστον δὲ τούτων διαιρεθέντων ὑποδιαιρεῖται, ἔλθωμεν καὶ ὑποδιέλωμεν αὐτά. ἀλλὰ ῶτον τὸ θεωρητικὸν ὑποδιέλωμεν· καὶ γὰρ τοῦτο δοκεῖ τιμιώτερον εἶναι τοῦ πρακκοῦ, ἐπειδὴ τῷ μὲν θεωρητικῷ πάντα τὰ ὄντα ὑπόκεινται πρὸς γνῶσιν, τῷ δὲ πρακτικῷ ναι αἱ ἀνθρώπιναι ψυχαί· μόνας γὰρ τὰς ἀνθρωπίνας ψυχὰς κοσμεῖ· οὐ μὴν καὶ τὰς ν ἀλόγων. ἰστέον δὲ ὅτι ἄλλως ὁ Πλάτων τὸ θεωρητικὸν διαιρεῖ καὶ ἄλλως ὁ Ἀριστολης. καὶ γὰρ ὁ Πλάτων ὑποδιαιρεῖ τὸ θεωρητικὸν εἰς φυσιολογικὸν καὶ θεογικόν, τὸ δὲ μαθηματικὸν οὐκ ἠβούλετο μέρος εἶναι τῆς φιλοσοφίας ἀλλὰ προγύμνασμα ὥσπερ ἡ γραμματικὴ καὶ ἡ ῥητορική· ὅθεν καὶ πρὸ τοῦ ἀκροατηρίου τοῦ οἰκείου ἐπέχιψεν „ἀγεωμέτρητος μηδεὶς εἰσίτω.“ τοῦτο δὲ ἐπέγραψεν, ἐπειδὴ εἰς τὰ πολλὰ ὁ λάτων θεολογεῖ καὶ περὶ θεολογίαν καταγίνεται. συμβάλλεται δὲ εἰς εἴδησιν τῆς ολογίας τὸ μαθηματικόν, οὗτινος μέρος ἐστὶν ἡ γεωμετρία. ὁ δὲ Ἀριστοτέλης οδιαιρεῖ τὸ θεωρητικὸν εἰς φυσιολογικὸν μαθηματικὸν θεολογικόν· καὶ γὰρ τὸ θηματικὸν μέρος τῆς φιλοσοφίας ἐδόξασε· καὶ αὐτὸ γὰρ ἐπιστήμη ἐστί. ταῦτα μὲν τούτοις. ἄξιον δὲ ζητῆσαι, διὰ τί εἰς τρία ὑποδιαιρεῖται τὸ θεωρητικόν, εἰς

---

3 ἔλθομεν P εἴπομεν P 5 εὑρικέναι L 6 πολεμικοὶ ὄντες PL: correxi ex Davide 11 μυριόνην α μέν σε ὀρχηστὴν (ὀρχιστὴν P) LP 14 ἐ ultima paginae litera L: post ἐ media in pagina habet λείπει P

M = Marcianus 599 (f. 152r—161r). V = Vaticanus 1470 (f. 39v—47v). Br. = schol. in Aristot. .5a46—16b2) 15 τὰ — φιλοσόφου Br. p. 12, 3: προλεγόμενα τῶν πέντε φωνῶν τῆς φιλοσοφίας ἀπὸ ῆς τοῦ θεοφιλεστάτου φιλοσόφου κυρίου Δαυίδ M 17 Ἐπειδὴ — τὰς τῶν ἀλόγων (22) om. Br. 22 δὲ Br. 23 θεολογικόν Br.: μαθηματικὸν sed in margine γρ. θεολογικὸν M 25. 26 ἐπέγραφεν bis V μαθηματικὸν καὶ θεολογικόν V καὶ γὰρ — θεολογικόν (p. 11, 1) in margine V 30 ἐδόξαζε V 30 ταῦτα τούτοις om. V 31 θεωρητικὸν τουτέστιν εἰς V

φυσιολογικὸν μαθηματικὸν θεολογικόν, καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν. τῷ θεω-
ρητικῷ πάντα τὰ ὄντα ὑπόκεινται πρὸς γνῶσιν. τὰ δὲ ὄντα τριττά ἐστιν. ἢ γὰρ καὶ τῇ
ὑποστάσει καὶ τῇ ἐπινοίᾳ ἔνυλά εἰσιν ὥσπερ ξύλον λίθος ὀστοῦν· ταῦτα γὰρ καὶ τῇ
ὑποστάσει ἔνυλά εἰσι καὶ τῇ ἐπινοίᾳ· | οὐδὲ γὰρ δύναταί τις ξύλον ἢ λίθον ἢ ὀστοῦν 152v
ἐπινοῆσαι ἄυλα. ἢ καὶ τῇ ὑποστάσει καὶ τῇ ἐπινοίᾳ ἄυλά εἰσιν ὥσπερ ἄγγελος ψυχὴ ἡ
ἄνευ σώματος οὖσα· ταῦτα γὰρ τῇ ὑποστάσει ἄυλά εἰσι καὶ τῇ ἐπινοίᾳ· οὐδὲ γὰρ δύναταί
τις ἐπινοῆσαι ἢ ἄγγελον ἢ ψυχὴν ἄνευ σώματος οὖσαν ἔνυλα. ἢ τῇ μὲν ὑποστάσει
ἔνυλά εἰσι, τῇ δὲ ἐπινοίᾳ ἄυλα ὥσπερ τὰ σχήματα· καὶ γὰρ ταῦτα τῇ μὲν ὑποστάσει
ἔνυλά εἰσιν· οὐδὲ γὰρ δύναται τρίγωνον ἢ τετράγωνον ἤ τι τοιοῦτον σχῆμα ἄνευ ὕλης
συστῆναι· ἢ γὰρ ἐν ξύλῳ ἔχει τὴν ὕπαρξιν ἢ ἐν λίθῳ ἢ ἐν χαλκῷ ἢ ἔν τινι τοιούτῳ. τῇ
δὲ ἐπινοίᾳ ἄυλά εἰσιν· καὶ γὰρ ἡνίκα τις φαντάζεται καὶ ἀναπολεῖ τὸ σχῆμα αὐτὸ καθ'
ἑαυτό, ἀνατυποῖ αὐτὸ ἐν τῇ οἰκείᾳ διανοίᾳ. ὥσπερ γὰρ ὁ κηρὸς ἀναματτόμενος τὴν σφρα-
γῖδα ἐκ τοῦ δακτυλίου αὐτὴν μόνην τὴν σφραγῖδα ἀναμάττεται, οὐ μὴν ἀφαιρεῖταί τι ἐκ
τοῦ δακτυλίου, τὸν αὐτὸν τρόπον καὶ ἡ διάνοια φανταζομένη τὰ σχήματα οὐκ ἀφαιρεῖταί
τι ἐκ τῆς ὕλης, ἀλλ' αὐτὸ μόνον τὸ σχῆμα φαντάζεται καὶ διατυποῖ ἐν ἑαυτῇ. ἐπειδὴ
οὖν τῷ θεωρητικῷ πάντα ὑπόκεινται τὰ ὄντα πρὸς γνῶσιν, τὰ δὲ ὄντα, ὡς εἴρηται, τριττά
εἰσι, τούτου χάριν καὶ τὸ θεωρητικὸν εἰς τρία διαιρεῖται, εἰς φυσιολογικὸν μαθηματικὸν
θεολογικόν. καὶ ἰστέον ὅτι τὸ μὲν φυσιολογικὸν καταγίνεται περὶ τὰ καὶ τῇ ὑποστάσει
καὶ τῇ ἐπινοίᾳ ἔνυλα· ζητεῖ γὰρ περὶ τῶν τεσσάρων στοιχείων πῶς σύγκεινται. τὸ δὲ
θεολογικὸν καταγίνεται περὶ τὰ καὶ τῇ ὑποστάσει καὶ τῇ ἐπινοίᾳ ἄυλα. τὸ δὲ μαθημα-
τικὸν καταγίνεται περὶ τὰ τῇ μὲν ὑποστάσει ἔνυλα τῇ δὲ ἐπινοίᾳ ἄυλα.

Τούτων οὖν οὕτως ἐχόντων ἔλθωμεν καὶ εἴπωμεν περὶ τῆς τάξεως αὐτῶν. ἰστέον 5
ὅτι τὸ φυσιολογικὸν πρώτην ἔχει τάξιν ὡς σύντροφον καὶ πλησιάζον ἡμῖν ἅτε δη
πάντῃ ἔνυλον ὄν, τὸ δὲ μαθηματικὸν μέσον ἐστὶ τοῦ τε φυσιολογικοῦ καὶ θεολογι- Br. 15
κοῦ καὶ τῶν δύο μετέχον· καὶ γὰρ ἔνυλόν ἐστιν ὁμοίως τῷ φυσιολογικῷ καὶ ἄυλον ὁμοίως
τῷ θεολογικῷ· ὡς εἴρηται γάρ, τὸ μαθηματικὸν τῇ μὲν ὑποστάσει ἔνυλόν ἐστι τῇ δὲ ἐπι-
νοίᾳ ἄυλον. τὸ δὲ θεολογικὸν ἐξ ἀνάγκης ὕστερόν ἐστιν· οὐδὲ γὰρ δύναται εἶναι 6
μετὰ τὸ φυσιολογικόν, ἐπειδὴ οὐ δεῖ ἀπὸ τῶν πάντῃ ἐνύλων εὐθέως ἐπὶ τὰ πάντῃ ἄυλα
ἔρχεσθαι, ἐπεὶ πάσχομεν ὃ πάσχουσιν οἱ πολὺν χρόνον ἐν σκότει διάγοντες καὶ εὐθὺς
πρὸς τὸν ἥλιον θεωροῦντες· οἱ γὰρ πολὺν χρόνον ἐν σκότει διατρίβοντες καὶ εὐθέως εἰς
τὸν ἥλιον θεωροῦντες ἀποτυφλοῦνται. οὕτως οὖν οὐ δεῖ ἀπὸ τῶν πάντῃ ἐνύλων εὐθέως
ἐπὶ τὰ πάντῃ ἄυλα ἔρχεσθαι. οὕτω γὰρ αἰνιττομένη ἡ ποίησις λέγει περὶ Ὤτου καὶ 7
Ἐφιάλτου ταῦτα·

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.

καὶ κατὰ μὲν τὸ φαινόμενον τοῦτο λέγει ὅτι ὁ Ὦτος καὶ ὁ Ἐφιάλτης ἠθέλησαν θεῖναι ὄρη
ἐπάνω ἄλλων βουλόμενοι | μηχανήσασθαι τὴν εἰς οὐρανὸν ἄνοδον, ἀλληγορικῶς δὲ νοούμενα 153r

---

2 ὑπόκειται πρὸς γνῶσιν τὰ ὄντα V 3 καὶ (post γὰρ) om. V ταί τις in litura M 6 ταῦτα — οὖσαν ἔνυλα (7) om. M γὰρ τῇ scripsi: γὰρ τὰ V 7 τις scripsi cf. p. 6, 12: τι V 11 εἰσι V 12 γὰρ om. M 14 καὶ om. V 16 ὑπόκειται V 19 σύγκειται V 21 περιγίνεται V 24 τε om. Br. 25 ante καὶ τῶν add. ὡς Br. 30 οἱ γὰρ — θεωροῦντες om. Br. 32 ἡ ποίησις αἰνιττομένη Br. περὶ τοῦ Ὤτου Br. 34 ἐπ' Ὀλύμπῳ V: ἐν Ὀλύμπῳ M Br. 35 εἰνοσίφυλον M: ἠνοσίφυλον V 37 ἀλλήλων Br. τὴν om. Br.

τῦτα δηλοῦσιν ὅτι ἐκεῖνοι εὐθέως ἀπο τῶν φυσικῶν καὶ πάντῃ ἐνύλων πραγμάτων ἐπὶ ὴν γνῶσιν τῶν θείων ἠβουλήθησαν ἐπιπηδῆσαι. ἀπὸ οὖν τοῦ μαθηματικοῦ δεῖ ἐπὶ τὰ εολογικὰ ἔρχεσθαι. ὅτι γὰρ τοῦτο ἀληθές ἐστι, δηλοῖ ὁ Πλάτων περὶ τοῦ μαθηατικοῦ διαλεγόμενος καὶ λέγων ὅτι „αὕτη ὁδός, ταῦτα μαθήματα· εἴτε ῥᾴδια εἴτε χαλεπά, ιύτῃ ἰτέον, ἀμελεῖν δὲ οὐ δεῖ", τουτέστιν ὅτι ὁδῷ κεχρημένους τοῖς μαθήμασι διὰ τούον δεῖ βαδίσαι ἐπὶ τὰ θεολογικά. καὶ ὁ Πλωτῖνος δὲ τοῦτο δηλοῖ λέγων „παραδοτέον ὲ τοῖς νέοις τὰ μαθήματα πρὸς συνηθισμὸν τῆς ἀσωμάτου φύσεως, δι' ὧν τὴν ἀσώματον ύσιν γινώσκουσιν." ἰστέον δὲ ὅτι ἐοίκασι τὰ μαθηματικὰ κλίμακι καὶ γεφύρᾳ· σπερ γὰρ ἐν τῇ κλίμακι ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω ἐρχόμεθα καὶ ἐν τῇ γεφύρᾳ δὲ ἀπὸ ιῦδε τοῦ μέρους εἰς τὸ ἐξ ἐναντίας μέρος ἐρχόμεθα, οὕτω καὶ διὰ τοῦ μαθηματικοῦ ἐπὶ ὸ θεολογικὸν ἐρχόμεθα· καὶ γὰρ συμβάλλεται τὸ μαθηματικὸν εἰς τὴν εἴδησιν τοῦ θεοογικοῦ. ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες· εἰ ἄρα οὐ μόνον τὸ μαθηματικὸν μανθάνεται ἀλλὰ αὶ τὸ φυσιολογικὸν καὶ τὸ θεολογικόν, διὰ τί τοῦτο μόνον λέγεται μαθηματικὸν αὶ μὴ κἀκεῖνοι λέγονται μαθηματικά; καὶ ἐπιλύονται λέγοντες ὅτι τὸ φυσιολογικὸν ὐ δύναται λέγεσθαι μαθηματικόν, ἐπειδὴ τοῦτο πάντῃ ἔνυλον ὂν καὶ ἀεὶ ἐν ῥοῇ καὶ πορροῇ ὂν καὶ ἄλλοτε ἄλλως ἔχον οὐχ ὑποπίπτει ἀκριβεῖ γνώσει, ἀλλὰ τυχὸν σήμερον ἐν τοιῶσδε γινώσκεται αὔριον δὲ τοιῶσδε διὰ τὸ ἄλλως ἔχειν. ἀλλ' οὔτε δὲ τὸ θεοογικὸν δύναται λέγεσθαι μαθηματικόν, ἐπειδὴ τὰ θεῖα ἅτε δὴ ἀόρατα ὄντα καὶ ἀκατάηπτα εἰκασμῷ μᾶλλον γινώσκονται ἤπερ ἀκριβεῖ γνώσει. ἐξ ἀνάγκης οὖν τοῦτο λέγεται ιαθηματικόν. ἄλλως τε καὶ διὰ τοῦτο αὐτὸ μόνον λέγεται μαθηματικόν, ἐπειδὴ αὐτὸ ιδάσκει ἡμᾶς, πῶς δεῖ μανθάνειν τὰ πράγματα. εἰ γὰρ καὶ θεολογῆσαι διδάσκει ἡμᾶς ὁ Ἰριστοτέλης, ἀλλ' οὖν ἐκ τοῦ μαθηματικοῦ ἔλαβε τὴν ἀφορμήν. ἔτι δέ, ὥς φασιν ἱ Πυθαγόρειοι, διὰ τοῦτο μόνον λέγεται μαθηματικόν, ἐπειδὴ ἐν τῇ διανοίᾳ ἔχει τὴν παρξιν· μόνη γὰρ ἡ διάνοια μανθάνει· ὁ γὰρ νοῦς ἁπλῇ προσβολῇ πάντα γινώσκει. ταῦτα ν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις κʹ. Διελόντες τὸ θεωρητικὸν εἰς φυσιολογικὸν μαθηματικὸν θεολογικὸν λθωμεν καὶ ἕκαστον τούτων διέλωμεν. ἀλλ' ἐπειδὴ ἡ διαίρεσις τοῦ φυσιολογικοῦ καὶ εολογικοῦ πολυσχιδής ἐστι καὶ μείζονος ἀκροάσεως δεῖται, ταύτην ταῖς μείζοσι πραγμαείαις παραπέμψωμεν, ἔλθωμεν δὲ νῦν | καὶ τὴν διαίρεσιν τοῦ μαθηματικοῦ εἴπωμεν τὴν ἀφεστέραν· ἔστι γὰρ καὶ ἄλλη πολυσχιδής, ἥτις ἐν ταῖς μεγάλαις πραγματείαις λεχθήσεται· λὴν καὶ ἡ λεχθησομένη διαίρεσις ἀκριβῶς ἔχει. ἰστέον ὅτι πέντε κεφάλαια ἔχομεν ερὶ τοῦ μαθηματικοῦ εἰπεῖν. καὶ ἔστι πρῶτον κεφάλαιον ἐν ᾧ λέγομεν, πόσα καὶ ποιά σι τὰ εἴδη τοῦ μαθηματικοῦ, δεύτερον δὲ ἐν ᾧ λέγομεν, διὰ τί τοσαῦτά εἰσι, τρίτον ἐν λέγομεν τὴν τάξιν αὐτῶν, τέταρτον ἐν ᾧ λέγομεν, τίνων εἰσὶν εὑρήματα, πέμπτον δὲ ἐν λέγομεν, τίνα παράκειται τοῖς τοιούτοις εἴδεσιν. ἔλθωμεν οὖν ἐπὶ τὸ πρῶτον καὶ εἴπω-

---

1 εὐθέως ἐκεῖνοι Br. 2 ἐβουλήθησαν ἐπιτηδεῦσαι Br. 2. 3 τὸ θεολογικὸν V 3 γὰρ M: V ὁ om. V 4 εἴτε — δεῖ (5) M: οὔτε ῥᾴδια ἔπεα, χαλεπὰ ταῦτα ἰστέον, ἀμελεῖν οὐ δεῖ V κεχρημένοι V 6 δὲ om. Br. 7 δὲ om. Br. συνηθισμὸν M cf. supra p. 7, 20: συνεθισμὸν Br. ἰστέον δὲ — ἀφορμήν (23) M: om. V et Br. 13 ποροῦσι M 22 γὰρ supra scriptum M 25 ταῦτα ἀκριβῶς ἔχει (32) om. V Br. 31 πολυσχεδὴς M 33 ἔστι τὸ πρῶτον Br. 35 εὑρέματα M om. Br. 36 τούτοις τοῖς εἴδεσιν Br. ἔλθωμεν — μαθηματικοῦ (13, 1) om. V Br.

μεν, πόσα καὶ ποῖά εἰσιν εἴδη τοῦ μαθηματικοῦ. ἰστέον οὖν ὅτι τέσσαρά εἰσιν Br. 1
εἴδη τοῦ μαθηματικοῦ, ἀριθμητικὴ μουσικὴ γεωμετρία ἀστρονομία. ἔλθωμεν δὲ καὶ 16
ἐπὶ τὸ δεύτερον καὶ εἴπωμεν, διὰ τί τοσαῦτα εἴδη εἰσὶ τοῦ μαθηματικοῦ. ἰστέον ὅτι τὸ
μαθηματικὸν περὶ τὸ ποσὸν καταγίνεται· ἢ γὰρ περὶ τοὺς ἀριθμοὺς καταγίνεται ὥσπερ
ἡ ἀριθμητική· τοῦτο δὲ ποσόν ἐστιν· ἢ περὶ τὰς σχέσεις τῶν φθόγγων ὥσπερ ἡ μουσική· καὶ τοῦτο δὲ ποσόν ἐστι· ζητεῖ γάρ, ποῖα τὸν διπλάσιον λόγον ἔχουσι καὶ ποῖα
τὸν ἐν ἡμιολίῳ· ἢ περὶ τὰ διαστήματα τῆς γῆς καταγίνεται ὥσπερ ἡ γεωμετρία· καὶ
τοῦτο δὲ ποσόν ἐστιν· ἢ περὶ τὰς κινήσεις τῶν οὐρανίων σωμάτων καταγίνεται ὥσπερ ἡ
ἀστρονομία· καὶ τοῦτο δὲ ποσόν ἐστιν· ἔχουσι γάρ τινα διαστήματα. τούτων οὖν 17
οὕτως ἐχόντων καὶ γνωσθέντων ὅτι τὰ μαθηματικὰ περὶ τὸ ποσὸν καταγίνεται δεῖ γινώσκειν ὅτι τὸ ποσὸν διττόν ἐστιν. ἢ γὰρ συνεχές ἐστιν ἢ διωρισμένον. καὶ συνεχὲς μὲν ποσόν ἐστιν οὗ τὰ μόρια εἰς ἕνα ὅρον συνάπτονται ὥσπερ ἐπὶ τοῦ τοίχου· οὗτος γὰρ συνεχὲς ποσόν ἐστι. καὶ γὰρ ἐὰν τέμῃς τοῦτον δυνάμει εἰς πολλοὺς τόμους, πάντα τὰ μόρια τὰ τμηθέντα εἰς ἕνα ὅρον συνάπτονται· καὶ γὰρ τοῦτο τὸ τμῆμα μετὰ τοῦ ἄλλου συνημμένον ἐστὶ διὰ τῆς γραμμῆς τῆς νοητῶς παραληφθείσης ἐν τῷ γενέσθαι τὴν τομήν. καὶ γὰρ τῆς γραμμῆς τῆς δυνάμει τὴν τομὴν ποιησάσης μεταξὺ οὔσης τῶν δυνάμει τμηθέντων εὑρίσκεται τόδε τὸ μέρος συναπτόμενον τῇ γραμμῇ καὶ τὸ ἄλλο τῇ γραμμῇ ὁμοίως καὶ διὰ τῆς γραμμῆς συνάπτονται ἀλλήλοις· δυνάμει γὰρ τῇ τομῇ καθυπεβλήθησαν, οὐ μὴν
ἐνεργείᾳ, ἵνα καὶ διαχωρισθῶσιν ἀλλήλων. διωρισμένον δὲ ποσόν ἐστι τὸ διακεχω- 18
ρισμένον καὶ μὴ ἔχον τι μεταξὺ τὸ ὀφεῖλον συνάφειαν ποιήσασθαι τοῦδε πρὸς τόδε ὡς ἐπὶ τῶν ἀριθμῶν. καὶ γὰρ ὁ δέκα ἀριθμὸς διακεχωρισμένος ἐστίν· εἴτε γὰρ ἀπὸ μονάδων
λάβῃς αὐτὸν συγκείμενον εἴτε ἀπὸ τοῦ πέντε, οὐκ ἔχει ἀριθμὸν ἄλλον μεταξὺ | τὸν ὀφείλοντα 154r
συνάφειαν τοῦ ἀριθμοῦ τοῦδε ποιήσασθαι πρὸς τόνδε· ἐὰν γὰρ προσλάβῃ ἕτερον ἀριθμόν,
εὑρίσκεται ἐκπίπτων τοῦ δέκα μείζων γενόμενος. καὶ τούτων δὲ ἑκάτερον διττόν 19
ἐστι. καὶ γὰρ καὶ τὸ διωρισμένον ποσὸν διττόν ἐστι· τὸ μὲν γάρ ἐστι καθ' ἑαυτό, τὸ δὲ κατὰ σχέσιν. καὶ καθ' ἑαυτὸ μέν, ὡς ὅταν τοὺς ἀριθμοὺς αὐτοὺς καθ' ἑαυτοὺς λάβωμεν οἷον ὡς ὅταν τὸν δέκα ἀριθμὸν καθ' ἑαυτὸν λάβωμεν καὶ μὴ ἐξετάσωμεν αὐτὸν πρὸς ἄλλον ἀριθμόν. κατὰ σχέσιν δέ, ὡς ὅταν τόνδε τὸν ἀριθμὸν ἐξετάσωμεν πρὸς τόνδε οἷον ὡς ὅταν τὸν δέκα ἐξετάσωμεν πρὸς τὸν πέντε λέγοντες ὅτι ὁ δέκα διπλάσιον
λόγον ἔχει πρὸς τὸν πέντε. καὶ πάλιν τὸ συνεχὲς ποσὸν διττόν ἐστι· τὸ μὲν γὰρ 20
ἀκίνητόν ἐστι, τὸ δὲ κινητόν. καὶ ἀκίνητον μὲν ὥσπερ ἡ γῆ· αὕτη γὰρ ἀκίνητός ἐστιν· οὐδὲ γὰρ ἀπέρχεται ἐκ τοῦδε τοῦ τόπου εἰς τόνδε τὸν τόπον· κινητὸν δὲ ὥσπερ ὁ οὐρανός· οὗτος γὰρ ἀεὶ κινεῖται. τούτων οὖν οὕτως ἐχόντων ἐπειδὴ τὸ μαθηματικὸν περὶ 21
τὸ ποσὸν καταγίνεται, τὸ δὲ ποσόν, ὡς εἴρηται, διττόν ἐστιν· ἢ γὰρ συνεχές ἐστιν ἢ διωρισμένον· ἑκάτερον δὲ τούτων διττόν ἐστιν· ἔστι γὰρ ποσὸν διωρισμένον καθ' αὑτὸ καὶ ποσὸν διωρισμένον κατὰ σχέσιν καὶ ποσὸν συνεχὲς ἀκίνητον καὶ ποσὸν συνεχὲς κινούμενον· τούτου χάριν πρὸς ἀναλογίαν τῶν τεσσάρων τούτων τῶν συναγομένων ἐκ τοῦ ποσοῦ τοῦ τε

---

1 *οὖν* om. Br. 2 *καὶ* (post *δὲ*) om. V 3 *ἰστέον δὲ ὅτι* V 7 *ἢ περὶ — τινα διαστήματα* (9) in margine V 9 ante *τούτων* add. *καὶ περὶ τὰ διαστήματα* V 12 *ὥσπερ — συνάπτονται* (14) om. V 18 *καθυποβλήθησαν* V *μὲν* V 19 *διαχωρισθῶ* V 20 *πρὸς τοῦδε* V 21 *ὁ* iteravit V 22 post *πέντε* add. *καὶ τοῦ πέντε* V 23 *τοῦδε τοῖ ἀριθμοῦ* V 24 *γινόμενος* V 25 *ὡρισμένον* V 27 *οἷον — λάβωμεν* om. V. 31 *ἀκίνητον διττόν ἐστι* V 35 *ἑαυτὸ* V 37 *δ̄* V

ιωρισμένου καὶ τοῦ συνεχοῦς τέσσαρά εἰσι τὰ εἴδη τοῦ μαθηματικοῦ οἷον ἀριθμητικὴ ουσικὴ γεωμετρία ἀστρονομία. καὶ ἡ μὲν ἀριθμητικὴ καταγίνεται περὶ τὸ ποσὸν τὸ διωισμένον τὸ καθ᾽ αὑτό, ἡ δὲ μουσικὴ περὶ τὸ ποσὸν τὸ διωρισμένον τὸ κατὰ σχέσιν, ἡ δὲ εωμετρία περὶ τὸ ποσὸν τὸ συνεχὲς τὸ ἀκίνητον, ἡ δὲ ἀστρονομία περὶ τὸ ποσὸν τὸ συνχὲς τὸ κινούμενον. ταῦτα μὲν καὶ τὸ δεύτερον κεφάλαιον. ἔλθωμεν δὲ καὶ ἐπὶ τὸ τρίτον αὶ εἴπωμεν τὴν τάξιν αὐτῶν.

Ἰστέον ὅτι ἡ ἀριθμητικὴ καὶ ἡ μουσικὴ προτερεύουσι τῆς γεωμετρίας καὶ στρονομίας, ἐπειδὴ ἡ μὲν ἀριθμητικὴ καὶ ἡ μουσικὴ περὶ τὸ ποσὸν τὸ διωρισμένον αταγίνονται, ἡ δὲ γεωμετρία καὶ ἡ ἀστρονομία περὶ τὸ ποσὸν τὸ συνεχές· τιμιώτερον δὲ ὸ ποσὸν τὸ διωρισμένον τοῦ ποσοῦ τοῦ συνεχοῦς. καὶ γὰρ τὸ ποσὸν το διωρισμέον δύναται ἀσυγχύτως δέξασθαι διάφορα εἴδη. ἰδοὺ γὰρ ὁ κε̅ ἀριθμὸς ὢν ποσὸν ιωρισμένον δέχεται ἀσυγχύτως διάφορα εἴδη· ἔστι γὰρ καὶ κύκλος καὶ τετράγωνος. καὶ ύκλος μέν, ὅτι ὥσπερ ἐν τῷ κύκλῳ ἡ ἀρχὴ τῷ πέρατι συνάπτεται, οὕτω καὶ ἐνταῦθα ρχεται ἀπὸ τοῦ πέντε ἐν τῷ πολλαπλασιασμῷ καὶ εἰς αὐτὸν λήγει ἀποτελούμενος, | οἷον :εντάκις πέντε εἰκοσιπέντε ἰδοὺ καὶ ἐν τῷ πολλαπλασιασμῷ ἀπὸ τοῦ πέντε ἄρχεται καὶ ποτελούμενος εἰς τὸν πέντε καταλήγει. τετράγωνος δὲ λέγεται, ἐπειδὴ πᾶς ἀριθμὸς ὶς ἑαυτὸν πολλαπλασιαζόμενος τετράγωνον ἀριθμὸν ἀποτελεῖ, οἷον τρὶς τρεῖς θ̅, τετράκις δ̅ ξ̅· οὕτως οὖν καὶ πεντάκις πέντε κε̅. τὸ δὲ ποσὸν τὸ συνεχὲς οὐ δύναται ἀσυγχυτως ιάφορα εἴδη ἐπιδέξασθαι. ἰδοὺ γαρ ἐν τῷ κηρῷ, ὅπερ ἐστὶ συνεχὲς ποσόν, ἐὰν ποιήσῃ ις εἶδος Ἕκτορος, οὐ δύναται ποιῆσαι ἄλλο εἶδος, εἰ μὴ ἀφανισθῇ τὸ πρῶτον εἶδος, πεὶ σύγχυσις γίνεται. ἐπειδὴ οὖν τὸ ποσὸν τὸ διωρισμένον τιμιώτερόν ἐστι τοῦ ποσοῦ οῦ συνεχοῦς, τούτου χάριν ἡ ἀριθμητικὴ καὶ ἡ μουσικὴ ὡς περὶ τὸ ποσὸν τὸ διωρισμένον αταγινόμεναι προτερεύουσι τῆς γεωμετρίας καὶ τῆς ἀστρονομίας ὡς τούτων περὶ τὸ ποσὸν ὸ συνεχὲς καταγινομένων. ἡ δὲ ἀριθμητικὴ προτερεύει τῆς μουσικῆς, ἐπειδὴ ἡ μὲν ριθμητική, ὡς ἀνωτέρω εἴρηται, περὶ τὸ ποσὸν τὸ καθ᾽ αὑτὸ καταγίνεται, ἡ δὲ μουικὴ περὶ τὸ ποσὸν τὸ κατὰ σχέσιν. προτερεύει δὲ τὸ καθ᾽ αὑτὸ τοῦ κατὰ σχέσιν, ἐπειδὴ ρῶτον δεῖ ἁπλῶς τι εἶναι καὶ τότε ἐν σχέσει πρὸς ἕτερον παραλαμβάνεσθαι. ἡ δὲ εωμετρία προτερεύει τῆς ἀστρονομίας, ἐπειδὴ ἡ μὲν γεωμετρία περὶ τὸ ποσὸν τὸ υνεχὲς τὸ ἀκίνητον καταγίνεται, ἡ δὲ ἀστρονομία περὶ τὸ ποσὸν τὸ συνεχὲς τὸ κινούμενον αταγίνεται. προτερεύει δὲ τὸ ἀκίνητον τοῦ κινουμένου· ἀρχὴ γὰρ κινήσεως ἡ ἠρεμία ἐστίν· γὰρ μέλλων κινεῖσθαι ἀπὸ ἠρεμίας προέρχεται. αὕτη μὲν οὖν ἐστιν ἡ αἰτία τῆς τάξεως ὐτῶν. ἔστι δὲ καὶ ἄλλην αἰτίαν εἰπεῖν οὕτως. ἀναλογεῖ μὲν ἡ ἀριθμητικὴ τῇ ονάδι, ἡ δὲ μουσικὴ τῇ δυάδι, ἡ δὲ γεωμετρία τῇ τριάδι, ἡ δὲ ἀστρονομία τῇ τετράδι· ρὸς ἀναλογίαν οὖν τῆς τάξεως τῶν ἀριθμῶν ἐκτήσαντο καὶ ταύτην τὴν τάξιν. καὶ γὰρ ἡ ριθμητικὴ τῇ μονάδι ἀναλογεῖ· περὶ γὰρ τὸ καθ᾽ αὑτὸ ποσὸν καταγίνεται, τὸ δὲ καθ᾽ ὑτὸ ἕν τί ἐστιν. ἡ δὲ μουσικὴ τῇ δυάδι ἀναλογεῖ· καὶ γὰρ περὶ τὸ ἐν σχέσει ποσὸν

---

3 ἑαυτὸ V 5 καὶ om. V. 7 ἰστέον δὲ ὅτι Br. 9 καταγίνεται Br. δέ ἐστι ὸ Br. 10 τοῦ ποσοῦ τοῦ συνεχοῦς MV: τοῦ συνεχοῦς ποσοῦ Br. 12 γὰρ καὶ] γὰρ ὁ V τετράωνον M 14 ε̅ V καὶ εἰς αὐτὸν λήγει om. V 15 κε̅ V ε̅ V 16 ε̅ V 17 οἷον ρὶς in margine V 20 εἶδος ἄλλο V 25 περὶ ποσὸν V 26 ἑαυτὸ V 29 καταγίνεται τὸ ἀκίνητον V ἡ δὲ — καταγίνεται (30) om. V 35 τῇ om. Br. γὰρ om. Br. καταγινομένη Br. 6 αὐτὸ ποσὸν ἕν Br.

καταγίνεται, ἡ δὲ σχέσις τὸ ἐλάχιστον ἐπὶ δύο λαμβάνεται. ἡ δὲ γεωμετρία ἀναλογεῖ 28
τῇ τριάδι· καὶ γὰρ ἡ γεωμετρία περὶ τὰ ἐπίπεδα σχήματα καταγίνεται. πρῶτον δὲ σχῆμα τὸ τρίγωνόν ἐστιν· οὔτε γὰρ μία γραμμὴ οὔτε δύο γραμμαὶ ἀποτελοῦσι σχῆμα. ἡ δὲ ἀστρονομία ἀναλογεῖ τῇ τετράδι. καὶ γὰρ ἡ ἀστρονομία περὶ τὰ οὐράνια σώματα καταγίνεται, πᾶν δὲ σῶμα τριχῇ διαστατόν ἐστιν· ἔχει γὰρ μῆκος πλάτος βάθος. ἕκαστον δὲ τούτων ὑπὸ δύο ὅρων περιέχεται ἤγουν δύο πέρατα ἔχει, ἐξ ὧν περιέχεται· καὶ γὰρ καὶ τὸ μῆκος ἔνθεν καὶ ἔνθεν περιέχεται καὶ τὸ πλάτος ὁμοίως καὶ τὸ βάθος, ὥστε συνάγεσθαι ἓξ ὅρους ἤγουν πέρατα. ἐκ δὲ τούτων τῶν ἓξ τέσσαρα γίνονται· καὶ γὰρ τὸ ἓν | πέρας 155r
κοινόν ἐστι τῶν δύο· τὸ γὰρ πέρας τοῦ πλάτους εὑρίσκεται ἀρχὴ τοῦ μήκους ἢ τοῦ βάθους. ἐπειδὴ οὖν ἡ ἀστρονομία περὶ τὰ οὐράνια σώματα καταγίνεται, πᾶν δὲ σῶμα τριχῇ διαστατόν ἐστιν, ἔχει γὰρ μῆκος πλάτος βάθος, ταῦτα δὲ τέσσαρας ὅρους ἤγουν τέσσαρα πέρατα ἔχουσι, τούτου χάριν λέγουσιν αὐτὴν τῇ τετράδι ἀναλογεῖν. ἔχομεν οὖν, διὰ τί πρώτη ἐστὶν ἡ ἀριθμητικὴ καὶ δευτέρα ἡ μουσικὴ καὶ τρίτη ἡ γεωμετρία καὶ τετάρτη ἡ ἀστρονομία. ἐν οἷς καὶ τὸ τρίτον κεφάλαιον. ἔλθωμεν δὲ καὶ ἐπὶ τὸ τέταρτον καὶ εἴπωμεν, τίνων εἰσὶν εὑρήματα.

Ἰστέον ὅτι τὴν ἀριθμητικὴν οἱ Φοίνικες εὗρον ὡς ἐμπορικοὶ ὄντες καὶ δεόμενοι τῶν 29 B1
ἀριθμῶν εἰς τὰς ψήφους. τὴν δὲ μουσικὴν οἱ Θρᾷκες· ἐκεῖθεν γὰρ ἦν ὁ Ὀρφεύς, ὅστις λέγεται εὑρηκέναι τὴν μουσικήν· Θρᾷξ γὰρ ὁ Ὀρφεύς. ἐπενόησε δὲ ἐμβατήρια μέλη διεγείροντα πρὸς θυμὸν αὐτοὺς ὡς ἄγαν ὄντας πολεμικούς· ἡ γὰρ ψῦξις ἀποκλείουσα τὸ θερμὸν ἐν τῷ βάθει δριμύτερον αὐτὸ ποιεῖ, ὅθεν καὶ θυμώδεις εἰσὶ καὶ πολεμικοὶ τῇ βίᾳ τοῦ θερμοῦ καὶ ὀρχηστικοὶ δὲ διὰ τὰς ἑτοίμους φυγὰς τῶν βελῶν· ἔστι γὰρ καὶ πυρρίχιος αὐτοῖς ὄρχησις, ὅ ἐστιν ἐνόπλιος, κατὰ τὸ εἰρημένον τῷ ποιητῇ

Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα.

τὴν δὲ γεωμετρίαν οἱ Αἰγύπτιοι εὗρον ἐξ ἀνάγκης· καὶ γὰρ τοῦ Νείλου συνεχῶς 30
ἀνιόντος καὶ τὴν Αἴγυπτον ἐπικλύζοντος σύγχυσις τῶν ὁροθεσίων ἐγίνετο καὶ ἤρχοντο οἱ Αἰγύπτιοι εἰς μάχην καὶ ἐφόνευον ἀλλήλους καὶ λοιπὸν ἐκεῖθεν ἐπενόησαν μέτρον τι, δι' οὗ ἐμέτρουν τὴν γῆν καὶ ἑκάστου τὸ ἴδιον ἐφυλάττετο· ὅπερ μέτρον καὶ ἄκαιναν ἐκ'λουν διὰ τὸ μὴ καίνειν, ὅ ἐστι φονεύειν, ἐπειδὴ δι' αὐτοῦ ἐστηρήθησαν τοῦ καίνειν καὶ φονεύειν. οὕτω τῆς γεωμετρίας ἐξ ἀνάγκης ἀνεφάνη τὸ χρήσιμον. τὴν δὲ ἀστρονομίαν οἱ Χαλδαῖοι. 31
καὶ γὰρ ἐν τῷ κλίματι, ἐν ᾧ εἰσιν οὗτοι, καθαρός ἐστιν ὁ οὐρανὸς καὶ ἀνέφελος, καὶ εὐχερῶς ἐκεῖθεν ἐπενόησαν τὴν περὶ τῶν οὐρανίων σωμάτων διδασκαλίαν ἤγουν τὴν ἀστρονομίαν. ταῦτα μὲν καὶ τὸ τέταρτον κεφάλαιον· ἔλθωμεν δὲ ἐπὶ τὸ πέμπτον καὶ εἴπωμεν, τί παράκειται τούτοις τοῖς εἴδεσιν.

Ἰστέον ὅτι τῇ ἀριθμητικῇ ἡ λογιστικὴ παράκειται. διαφέρουσι δὲ ἀλλήλων, ὅτι ἡ 32
μὲν ἀριθμητικὴ τὴν φύσιν αὐτὴν τῶν ἀριθμῶν ζητεῖ καὶ περὶ τοῦ καθ' αὑτὸν νοουμένου ἀριθμοῦ διαλαμβάνει καὶ οὐ τέμνει τὴν μονάδα, ἡ δὲ λογιστικὴ περὶ τοῦ ἐν τοῖς πράγμασι

---

3 γραμμαὶ om. Br. 5 μῆκος βάθος καὶ πλάτος Br. 6 ἤγουν compendio M: ἤτοι Br. 7 ὁμοίως περιέχεται καὶ Br. 8 ἤτοι Br. πέρας cf. p. 9, 36: μέρος MBr. 9 ἢ M: καὶ Br. 10 ἐπειδὴ — εὑρήματα (15) om. Br., non V ut videtur. 16 στέον M ὡς om. Br. 17 τοὺς ψήφους Br. ὁ om. Br. 19 ἡ M: καὶ Br. 21 δὲ om. Br. πυρρίχιος παρ' αὐτοῖς Br. 23 μυριόνη M 24 οἱ om. Br. 29 εὑρέθη sed in margine γρ. ἀνεφάνη M τὴν δὲ ἀστρονομίαν — τὴν ἀστρονομίαν (32) ante τὴν δὲ γεωμετρίαν v. 24 collocavit M 31 ἤτοι Br. 32 ταῦτα — εἴδεσιν om. Br. et ut videtur V

θεωρουμένου ἀριθμοῦ διαλαμβάνει. ἀντι γαρ τῆς μονάδος λαμβάνει ἢ ἕνα ἄνθρωπον ἢ ἕνα ἵππον ἢ πηχυαῖον ξύλον και τέμνει την μονάδα εἰς ἥμισυ τρίτον ἕκτον και εἰς τὰ τοιαῦτα. τῇ δε μουσικῇ ἡ ἔντεχνος μουσικη παράκειται. και ἰστέον ὅτι ἡ μὲν μουσικὴ τῷ λόγῳ μόνῳ κέχρηται, ἡ δε ἔντεχνος μουσικη τοῖς ὀργάνοις οἷον τοῖς κυμβάλοις καὶ τοῖς αὐλοῖς. τῇ δε γεωμετρία ἡ γεωδαισία παράκειται. και ἡ μεν γεωμετρία τὸν λόγον τῶν μεγεθῶν και τῶν σχημάτων παραδίδωσιν. ἡ δε γεωδαισία κέχρηται τῷ ἔργῳ καὶ τέμνει την γῆν, ὅθεν και γεωδαισία λέγεται παρα τον δασμον ἤτοι τὸν μερισμὸν τῆς γῆς. τῇ δε ἀστρονομίᾳ ἡ σφαιρικη παράκειται. ἀλλ' ἡ μὲν ἀστρονομία περὶ μόνα τὰ οὐράνια σώματα καταγίνεται, ἡ δε σφαιρικη περι πᾶσαν σφαῖραν καταγίνεται· λέγει γὰρ τὰ συμβαίνοντα ἑκάστῃ σφαίρᾳ, εἴτε ὀστρακίνη εἴη εἴτε ξυλίνη εἴτε λιθίνη, σκοποῦσα τὰ ὑπάρχοντα πάσῃ σφαίρᾳ οὐ μόνῃ τῇ οὐρανίᾳ, ὡς Θεοδόσιος ἐν τοῖς σφαιρικοῖς διαλαμβάνει. και ἔστιν ἡ σφαιρικη ἁπλοτέρα τῆς ἀστρονομίας ὡς διαλαμβάνουσα περὶ τῆς τῷ λόγῳ θεωρουμένης σφαίρας. ἰστέον ὅτι φησιν ὁ Ὀλυμπιόδωρος ὡς τῶν μὲν ἄλλων μαθηματικῶν εἰδῶν μέχρι τοῦ νῦν φυλάττεται λείψανα οἷον τῆς ἀριθμητικῆς τῆς γεωμετρίας τῆς ἀστρονομίας· περι δε τῆς μουσικῆς φησιν „ἡμεῖς μὲν τῆς κλέος ἐσθλὸν οἷον ἀκούομεν οὐδέ τι ἴδμεν.“ οὔτε γάρ φησι σώζεται λείψανα τῆς μουσικῆς. ἰστέον δὲ ὅτι εἰσὶ μέχρι τοῦ νῦν βιβλία μουσικά. πάνυ δε συμβάλλεται ἡ μουσικὴ οὐ μόνον ταῖς τῶν ἀλόγων ψυχαῖς, ἀλλα και τῶν λογικῶν. ὅτι δε συμβάλλεται ταῖς ψυχαῖς τῶν ἀλόγων, δηλοῦσι τὰ πρόβατα ἑπόμενα τῇ ποιμενικῇ σύριγγι ὥσπερ ὑπὸ τῆς φωνῆς ἡδυνόμενα. ὅτι δὲ τῇ ψυχῇ τῶν λογικῶν ζῴων συμβάλλεται, δηλοῖ ἡ ἐν πολέμῳ σάλπιγξ τὴν ψυχὴν διεγείρουσα, καὶ τα θεατρικὰ δὲ ὄργανα δηλοῦσι τὴν ψυχὴν χαλῶντα διὰ τὸ ποιεῖν αὐτὴν ἥδεσθαι. ταῦτα ἐν οἷς συν θεῷ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις κα΄. Μαθόντες ὅτι ἡ φιλοσοφία διαιρεῖται εἰς θεωρητικὸν καὶ πρακτικὸν και ὅτι τὸ θεωρητικὸν διαιρεῖται εἰς φυσιολογικὸν μαθηματικὸν καὶ θεολογικὸν ἔλθωμεν καὶ εἴπωμεν, κατὰ ποῖον τρόπον τῆς διαιρέσεως ἐγένετο ἐπὶ τούτων ἡ διαίρεσις. τοῦ γαρ πρακτικοῦ τὴν διαίρεσιν ἐν τοῖς ἑξῆς λέγομεν._ ἀλλ' ἵνα τοῦτο μάθωμεν, εἴπωμεν, πόσοι καὶ ποῖοί εἰσιν οἱ διαιρετικοὶ τρόποι. ἰστέον ὅτι φασί τινες ὀκτὼ εἶναι τοὺς διαιρετικοὺς τρόπους. εἰσὶ δὲ οὗτοι· οἱ ἀπὸ γένους εἰς εἴδη, ἀπὸ εἰδῶν εἰς ἄτομα, ἀπὸ ὅλων εἰς μέρη· καὶ τοῦτο διχῶς· ἢ γὰρ εἰς ὁμοιομερῆ γίνεται ἡ διαίρεσις ἢ εἰς ἀνομοιομερῆ. ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα, ἀπὸ οὐσίας εἰς συμβεβηκότα, ἀπὸ συμβεβηκότων εἰς οὐσίας, ἀπὸ συμβεβηκότος πάλιν εἰς συμβεβηκότα, ἀφ' ἑνὸς πρὸς ἕν. καὶ ἀπὸ γένους μὲν εἰς εἴδη ὡς ὅταν τὸ ζῷον διέλωμεν εἰς λογικὸν καὶ ἄλογον· | τὸ γὰρ ζῷον γένος ἐστὶ καὶ διαιρεῖται εἰς εἴδη οἷον εἰς λογικὸν καὶ ἄλογον. ἀπὸ δὲ εἰδῶν εἰς ἄτομα ὡς ὅταν τὸν καθόλου ἄνθρωπον διέλωμεν εἰς Σωκράτην Πλάτωνα Ἀλκιβιάδην καὶ τοὺς λοιπούς. ἀπὸ ὅλων εἰς μέρη ὁμοιομερῆ ὡς ὅταν τὴν ὅλην φλέβα τέμωμεν εἰς μικρὰς

1 ἢ (ante ἕνα) om. V 2 καὶ τὰ τοιαῦτα V 4 τῷ initio paginae iteravit M 5 γεοδοσία ut semper V 7 καὶ M: ἡ V 9 ἡ δὲ — καταγίνεται om. Br. 11 μόνον Br. 13 στέον M | ἰστέον δὲ ὅτι Br. 14 λείψανον Br. 15 μὲν om. Br. | ἐσθλὸν om. Br. | οἷον M 16 γὰρ σώζεται, φησί, λείψανον Br. | στέον M 17 ἡ μουσικὴ οὐ μόνον om. Br. 18 ψυχαῖς τῶν ἀλόγων Br. | ἀλλὰ — ἀλόγων om. Br. 19 δὲ καὶ τῇ ψυχῇ Br. 21 ἡδύνεσθαι Br. | ταῦτα — πρᾶξις om. VBr. 23 μαθόντες — τρόποι (27) om VBr. 28 οἱ om. V 30 συμβεβηκότα καὶ ἀπὸ V 31 πάλιν om. V | συμβεβηκότα καὶ ἀφ' V 32 ἀπὸ μὲν γένους M 33 οἷον εἰς M: τουτέστιν V 34 πλάτωνα σωκρατην V | τοὺς λοιπούς M: εἰς τοὺς καθέκαστα ἀνθρώπους V 35 ὅλων δὲ εἰς V | ὁμοιομερῶς V | φλέβαν V

φλέβας· ἐνταῦθα γὰρ ἀπὸ ὅλου ἐγένετο ἡ διαίρεσις καὶ εἰς ὁμοιομερῆ. καὶ γὰρ ὁμοιομερῆ
λέγεται τὰ ἀλλήλοις καὶ τῷ ὅλῳ ὁμωνύμως λεγόμενα ὡς ἐπὶ τῆς φλεβὸς τῆς τεμνομένης εἰς
μικρὰς φλέβας· καὶ γὰρ ἕκαστον τούτων ὁμωνύμως καὶ τῷ ὅλῳ καὶ τοῖς λοιποῖς φλὲψ λέ-
γεται. ἀπὸ ὅλων δὲ εἰς μέρη ἀνομοιομερῆ ὡς ὅταν τὴν κεφαλὴν ὅλην διέλωμεν εἰς ὦτα 41
ῥῖνα ὀφθαλμούς· ἐνταῦθα γὰρ ἀπὸ ὅλου ἐγένετο ἡ διαίρεσις εἰς ἀνομοιομερῆ. καὶ γὰρ
ἀνομοιομερῆ λέγεται τὰ μήτε ἀλλήλοις μήτε τῷ ὅλῳ ὁμωνύμως λεγόμενα· οὔτε γὰρ τὰ ὦτα
λέγεται κεφαλὴ οὔτε ἡ ῥὶν οὔτε οἱ ὀφθαλμοί· οὔτε δὲ ἀλλήλοις ὁμωνύμως λέγονται· οὔτε
γὰρ οὖς λέγεται ῥὶν οὔτε ῥὶν ὀφθαλμοί. ἀπὸ ὁμωνύμου δὲ φωνῆς εἰς διάφορα σημαινό- 42
μενα ὡς ὅτε ἡ κύων φωνὴ διαιρεῖται εἴς τε τὸν θαλάττιον κύνα καὶ τὸν χερσαῖον καὶ τὸν
ἀστρῷον. ἀπὸ οὐσίας δὲ εἰς συμβεβηκότα ὡς ὅταν εἴπωμεν· τῶν ἀνθρώπων οἱ μὲν λευ- 43
κοὶ οἱ δὲ μέλανες· ἐνταῦθα γὰρ εἰς τὸ λευκὸν καὶ τὸ μέλαν, ἅτινα συμβεβηκός εἰσίν, ἐγένετο
ἡ διαίρεσις. ἀπὸ συμβεβηκότος δὲ εἰς οὐσίας ὡς ὅταν εἴπωμεν ὅτι τοῦ λευκοῦ τὸ μὲν 44
ἐστι χιὼν τὸ δὲ ψιμμύθιον τὸ δὲ κύκνος· ἀπὸ γὰρ τοῦ λευκοῦ, ὅπερ ἐστὶ συμβεβηκός,
ἐγένετο ἡ διαίρεσις εἰς χιόνα καὶ κύκνον καὶ ψιμμύθιον, ἅτινα οὐσίαι εἰσίν. ἀπὸ συμβεβη- 45
κότος εἰς συμβεβηκότα ὡς ὅταν εἴπωμεν ὅτι τῶν λευκῶν τὰ μὲν θερμά ἐστι τὰ δε ψυχρά,
καὶ θερμὰ μὲν ὡς ἐπὶ τῆς ἀσβέστου, ψυχρὰ δὲ ὡς ἐπὶ τῆς χιόνος. ἰδοὺ γὰρ ἐνταῦθα
ἀπὸ τοῦ λευκοῦ, ὅπερ ἐστὶ συμβεβηκός, ἐγένετο ἡ διαίρεσις εἰς θερμὸν καὶ ψυχρόν, ἅτινα
καὶ αὐτὰ συμβεβηκότα εἰσίν. ἀφ' ἑνὸς δὲ καὶ πρὸς ἓν ὡς ὅταν ἀπὸ μὲν τῆς ἰατρικῆς 46
εἴπωμεν ἰατρικὸν βιβλίον ἰατρικὸν φάρμακον ἰατρικὴ ἔμπλαστρος. ἰδοὺ ταῦτα ἀφ' ἑνός
εἰσιν· ἀπὸ γὰρ μιᾶς τῆς ἰατρικῆς ὠνομάσθησαν. πρὸς ἓν δὲ ὡς ὅταν ἀπὸ τοῦ τέλους, 47
φημὶ δὲ τῆς ὑγείας, εἴπωμεν ὑγιεινὸν βιβλίον ὑγιεινὸν φάρμακον ὑγιεινὴ ἔμπλαστρος· πρὸς
ἓν γὰρ πρᾶγμα τὴν ὑγίειαν ἀφορῶντες ὠνομάσαμεν αὐτά. ταῦτα μὲν οὕτως.

Ἔστι δὲ εἰπεῖν ὅτι οὐκ εἰσὶ κυρίως τρόποι διαιρετικοὶ ὀκτὼ ἀλλὰ τρεῖς· ὁ ἀπὸ 48
γένους εἰς εἴδη ὁ ἀπὸ ὅλων εἰς μέρη καὶ ὁ ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινό-
μενα· οἱ γὰρ ἄλλοι τρόποι οὐ δύνανται συστῆναι. οὐ γὰρ δυνάται ἀπὸ | εἰδῶν εἰς ἄτομα 156v
γίνεσθαι διαίρεσις, ἐπειδὴ τὰ ἄτομα ἄπειρά εἰσι. καὶ γὰρ οἱ κατὰ μέρος ἄνθρωποι
ἄπειροί εἰσι καὶ ἀπερίληπτοι, ἄπειροι δὲ ὄντες καὶ ἀπεριλήπτοι οὐ δύνανται διαιρέσει
καθυποβληθῆναι· ἐν ὅσῳ γάρ τις θέλει διαιρέσει τοὺς ἐν τῇδε τῇ πόλει ἀνθρώπους κα-
θυποβάλλειν, οἱ μὲν γεννῶνται οἱ δὲ φθείρονται, καὶ οὐδέποτε τοῦ τέλους ἐφικνεῖται.
ἀλλ' οὔτε δὲ ἀπὸ συμβεβηκότος εἰς οὐσίαν γίνεται διαίρεσις· τὸ γὰρ λέγειν ὅτι τοῦ λευκοῦ 49
τὸ μέν ἐστι κύκνος τὸ δὲ ψιμμύθιον τὸ δὲ χιὼν οὐκ ἔστι διαίρεσις συμβεβηκότος εἰς οὐ-
σίαν· οὐδὲ γὰρ τὸ λευκὸν τὸ καθ' αὑτὸ θεωρούμενον διεῖλον, ἀλλὰ τὸ σῶμα τὸ λευκόν,
ὅπερ ἐστὶν οὐσία· οὐδὲ γὰρ δύναται τὴν λευκότητα διελεῖν εἰς ψιμμύθιον καὶ κύκνον καὶ
χιόνα, ἐπειδὴ ἡ λευκότης συμβεβηκότος ἐστί, ταῦτα δὲ οὐσίαι εἰσίν, οὐ δύναται δὲ το
συμβεβηκὸς εἰς οὐσίας διαιρεῖσθαι. ἀλλ' οὔτε δὲ ἀπὸ οὐσίας εἰς συμβεβηκότα γίνεται 50

---

2 λέγονται V 3 λοιποῖς manu secunda superscriptum V 4 ἀνομοιομερῶς V 5 ῥίνας V 5 ὅλων ἐγίνετο V 6 λέγονται V post λεγόμενα add. ὡς ὅταν τὴν κεφαλὴν τέμωμεν εἰς ὦτα ῥίνα ὀφθαλμούς· ταῦτα γὰρ οὔτε τῷ ὅλῳ ὁμωνύμως λέγονται V 6 γὰρ τὸ οὖς V 7 λέγονται κεφαλῇ V 8 οὔτε ἡ ῥὶν ὀφθαλμὸς V 10 εἴπωμεν ὅτι τῶν V 11 συμβεβηκός MV: legendum συμβεβηκότα ut v. 18 13 ψιμύθιον semper V 14 ἐγίνετο V καὶ om. V καὶ om. V 15 εἰσὶ V 17 τοῦ om. V ὅπερ ἐστὶ συμβεβηκός post διαίρεσις collocavit V ἅτινα M: ἅπερ ἐστὶ V 18 εἰσίν om. V καὶ om. V. 21 ὑγιείας V 22 ὑγείαν V 23 ὁ ἀπὸ γένους — κρατεῖ ὡς λογικός (p. 21, 13) om. VBr. 34 συμβεβηκότος M: legendum συμβεβηκός.

διαίρεσις· τὸ γὰρ λέγειν 'τῶν ἀνθρώπων οἱ μέν εἰσι λευκοὶ οἱ δὲ μέλανες' οὐκ ἔστι διαίρεσις ἀπὸ οὐσίας εἰς συμβεβηκότα ἀλλ' ἀπὸ οὐσίας εἰς οὐσίας ἐχούσας συμβεβηκότα· εἰς γὰρ ἀνθρώπους μέλανας καὶ λευκοὺς ἐγένετο ἡ διαίρεσις, οἵτινες οὐσίαι εἰσίν.

1 *ἀλλ' οὔτε δὲ ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα γίνεται διαίρεσις· ἢ γὰρ ἀπὸ γένους εἰς εἴδη γίνεται ἡ διαίρεσις ὡς ὅταν εἴπωμεν ὅτι τὸ χρῶμα διαιρεῖται εἰς εἴδη λευκὸν καὶ μέλαν· τὸ χρῶμα γὰρ γένος ἐστὶ καὶ διαιρεῖται εἰς εἴδη λευκὸν καὶ μέλαν· ὅπερ ἀνάγεται ὑπὸ τὸν διαιρετικὸν τρόπον τὸν ἀπὸ γένους εἰς εἴδη. ἢ ὡς ἀπὸ οὐσίας εἰς οὐσίας καὶ οὐκέτι ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα γίνεται ἡ διαίρεσις. τὸ γὰρ λέγειν ὅτι τῶν λευκῶν τὰ μὲν θερμά εἰσι τὰ δὲ ψυχρά, ἀπὸ οὐσίας εἰς οὐσίας ἐστὶ διαίρεσις· τὸ γὰρ σῶμα τὸ λευκόν, ὅπερ ἐστὶν οὐσία, διεῖλον εἰς σῶμα ψυχρὸν καὶ θερμόν· καὶ αὐτὰ δὲ οὐσίαι εἰσίν· οὐδὲ γὰρ δύναται τὸ λευκὸν καθ' ἑαυτὸ θεωρούμενον ἤγουν τὴν λευκότητα διελεῖν εἰς σῶμα θερμὸν καὶ ψυχρόν, ἐπειδὴ τὸ λευκὸν καθ' ἑαυτὸ θεωρούμενον οὔτε θερμόν ἐστιν οὔτε ψυχρόν. ἀλλ' οὔτε δὲ τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν ἔστι διαίρεσις, ἀλλὰ ἀπαρίθμησις· τὰ γὰρ ἀφ' ἑνὸς καὶ πρὸς ἓν ἀόριστα καὶ ἀπερίληπτά εἰσι. δύναται γάρ τις εἰπεῖν 'ἰατρικὸν βιβλίον ἰατρικὴ δίαιτα ἰατρικὴ ἔμπλαστρος ἰατρικὸς οἶνος ἰατρικὸν ἔλαιον' καὶ ἄλλα ἄπειρα καὶ πάλιν 'ὑγιεινὸς οἶνος ὑγιαινὴ δίαιτα ὑγιεινὸν*

2 *βιβλίον', ἄπειρα δὲ καὶ ἀπερίληπτα ὄντα πῶς δύνανται διαιρέσει καθυποβληθῆναι; ὥστε οὖν κυρίως τρεῖς τρόποι εἰσὶ μόνοι διαιρετικοί· ὁ ἀπὸ γένους εἰς εἴδη, ὁ ἀπὸ ὅλων εἰς μέρη, ὁ ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα· [ἔστι δὲ ἀπὸ διαιρέσεώς τινος παραδοῦναι τοὺς διαιρετικοὺς τρόπους τούς τε κυρίως καὶ τοὺς ἀπὸ ὁμωνύμου φωνῆς εἰς*

3 *διάφορα σημαινόμενα·] ἔστι δὲ ἀπὸ* | † † † | *γνώσεις γὰρ καὶ αὐτά εἰσιν· ἡ δὲ γνῶσις, ὡς εἴρηται, ποιότης καὶ συμβεβηκός τί ἐστιν. ἀλλ' οὔτε δὲ ὡς ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα ἐγένετο ἡ διαίρεσις· ἐπειδή, ὡς ἐν τοῖς προλαβοῦσιν ἐδείξαμεν, ἐν τῷ διαιρετικῷ τρόπῳ τῷ λεγομένῳ ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα ἢ ὡς ἀπὸ γένους εἰς εἴδη ἐστὶν ἡ διαίρεσις ἢ ὡς ἀπὸ οὐσίας εἰς οὐσίας. οὔτε δὲ ὡς ἀπὸ γένους εἰς εἴδη δύναται ἐπὶ τοῦ θεωρητικοῦ καὶ πρακτικοῦ γενέσθαι διαίρεσις, ὡς δέδεικται, οὔτε ὡς ἀπὸ οὐσίας εἰς οὐσίας. ἐδείξαμεν γὰρ ὅτι οὔτε ἡ φιλοσοφία οὐσία ἐστὶ καθὸ γνῶσίς ἐστι· πᾶσα δὲ γνῶσις ποιότης καὶ συμβεβηκός τί ἐστιν· οὔτε τὸ θεωρητικὸν καὶ πρακτικὸν οὐσίαι εἰσί, καθὸ καὶ αὐταὶ γνώσεις εἰσίν. οὔτε δὲ ὡς ἀπὸ ὅλου εἰς μέρη ἐγένετο ἡ διαίρεσις· οὔτε γὰρ εἰς ὁμοιομερῆ, ἐπειδὴ ὁμοιομερῆ λέγονται τὰ καὶ ἀλλήλοις καὶ τῷ ὅλῳ ὁμωνύμως λεγόμενα οἷον ὡς ὅταν τέμωμεν τὴν φλέβα εἰς πολλὰς φλέβας. αὗται γὰρ αἱ μικραὶ φλέβες καὶ ὁμοίως τῷ ὅλῳ φλέβες λέγονται καὶ ὁμοίως ἀλλήλαις· πάντα γὰρ τὰ τμηθέντα φλέβες λέγονται. ἐνταῦθα δὲ οὐκ ἐγένετο εἰς ὁμοιομερῆ ἡ διαίρεσις, ἐπειδὴ τῷ μὲν ὅλῳ ὁμωνύμως λέγονται (καὶ γὰρ τὸ θεωρητικὸν ὁμωνύμως τῇ φιλοσοφίᾳ λέγεται καὶ τὸ πρακτικὸν ὁμοίως), ἀλλήλοις δὲ οὐ λέγονται ὁμωνύμως· οὔτε γὰρ τὸ θεωρητικὸν λέγεται πρακτικὸν οὔτε τὸ πρακτικὸν θεωρητικόν. ἀλλ' οὔτε δὲ εἰς ἀνομοιομερῆ ἐγένετο ἡ διαίρεσις, ἐπειδὴ ἀνομοιομερῆ λέγονται τὰ μήτε τῷ ὅλῳ μήτε ἀλλήλοις ὁμωνύμως λεγόμενα οἷον ὥσπερ ἐπὶ τῆς κεφαλῆς. αὕτη γὰρ διαιρεῖται εἰς ὦτα χεῖρας καὶ ὀφθαλμούς, ταῦτα δὲ*

---

19 *ἔστι — σημαινόμενα* (21) scripta delevit M 21 *ἔστι δὲ ἀπὸ* sunt ultima verba folii. quae cum non cohaereant cum sequentibus, totum folium intercidisse apparet, in quo scripta erant ea ad quae respicitur infra verbis *ὡς εἴρηται* v. 22, *ἐδείξαμεν* v. 27. 38 *χεῖρας* M: legendum *ῥῖνα*

οὔτε ὁμωνύμως τῷ ὅλῳ λέγονται· οὔτε γὰρ τὸ οὖς λέγεται κεφαλὴ οὔτε ῥὶν οὔτε ὀφθαλμοί·
οὔτε δὲ ἀλλήλοις ὁμωνύμως λέγονται· οὔτε γὰρ τὸ οὖς λέγεται ῥὶν οὔτε ἡ ῥὶν ὀφθαλμός.
ἐνταῦθα δὲ οὐκ ἐγένετο εἰς ἀνομοιομερῆ ἡ διαίρεσις, ἐπειδὴ εἰ καὶ ἀλλήλοις μὴ λέγονται
ὁμωνύμως (καὶ γὰρ οὐ λέγεται τὸ θεωρητικὸν πρακτικὸν οὔτε τὸ θεωρητικὸν πρακτικόν),
ἀλλ' οὖν τῷ ὅλῳ ὁμωνύμως λέγονται· καὶ γὰρ καὶ τὸ θεωρητικὸν λέγεται φιλοσοφία
ὁμωνύμως τῇ φιλοσοφίᾳ καὶ τὸ πρακτικὸν ὁμοίως. λείπεται οὖν λέγειν ὅτι ὡς τὰ ἀφ' 57
ἑνός εἰσιν· ἀπὸ γὰρ τῆς φιλοσοφίας ὠνομάσθησαν· καὶ γὰρ καὶ τὸ θεωρητικὸν ἀπὸ τῆς
φιλοσοφίας λέγεται φιλοσοφία καὶ τὸ πρακτικὸν ὁμοίως. ὁ μέντοι Ἀριστοτέλης λέγει ὅτι
ὡς ἀπὸ ὅλου εἰς μέρη ἐγένετο ἡ διαίρεσις. καὶ καλῶς λέγει· καὶ γάρ φησιν ὅτι τὸ θεωρη-
τικὸν καὶ πρακτικὸν μέρη τῆς φιλοσοφίας εἰσὶν ὥσπερ ἑνὸς τῶν μερῶν ἀπολιμπανομένου
ἀτελὲς τὸ ὅλον γίνεται (καὶ γὰρ χειρὸς ἀπούσης ἀτελὲς τὸ ὅλον ἐστί), τὸν αὐτὸν τρόπον
καὶ τοῦ θεωρητικοῦ ἀπόντος ἢ τοῦ πρακτικοῦ ἀτελής | ἐστιν ἡ φιλοσοφία. δεῖ γὰρ τὸν 157v
τέλειον φιλόσοφον μὴ μόνον τῇ θεωρίᾳ κοσμεῖσθαι, ἀλλὰ καὶ τῇ πράξει ἐγκαλλωπίζεσθαι.
εἰ δέ τις εἴποι 'καὶ εἰς τί ἐγένετο ἡ διαίρεσις; εἰς ὁμοιομερῆ ἢ εἰς ἀνομοιομερῆ;' 58
λέγομεν ὅτι εἰς ὁμοιομερῆ. καὶ γὰρ ταῦτα καὶ τῷ ὅλῳ καὶ ἀλλήλοις ὁμωνύμως λέγονται,
ὅπερ ἴδιόν ἐστιν, ὡς εἴρηται, τῶν ὁμοιομερῶν. καὶ τῷ ὅλῳ μέν, ὅτι ὥσπερ ἡ φιλοσοφία
λέγεται φιλοσοφία, οὕτως καὶ τὸ θεωρητικὸν λέγεται φιλοσοφία καὶ τὸ πρακτικὸν ὁμοίως·
ἀλλήλοις δέ, ὅτι καὶ τὸ πρακτικὸν δύναται λέγεσθαι θεωρητικόν, εἴγε διὰ τῆς θεωρίας
γίνεται ἡ πρᾶξις· τῷ γὰρ λόγῳ τις κεχρημένος ῥυθμίζει ἑαυτόν. καὶ τὸ θεωρητικὸν δύ-
ναται λέγεσθαι πρακτικόν· ἐνέργεια γὰρ τῆς ψυχῆς ἡ γνῶσίς ἐστι· καὶ γὰρ κατὰ τὴν γνῶσίν
τις ἐνεργεῖ· ὁ γὰρ κεχρημένος τῷ ἀγαθῷ ὡς γινώσκων ὅτι καλόν ἐστι τὸ κεχρῆσθαι αὐτῷ
κέχρηται αὐτῷ· καὶ γὰρ ὁ κεχρημένος τῇ σωφροσύνῃ ὡς γινώσκων τὴν φύσιν αὐτῆς κέχρηται
αὐτῇ· ὅθεν οἱ τῶν μὴ δεόντων ἐρῶντες καὶ γινώσκοντες τὸ ἄχρηστον τῆς τούτων φύσεως
ἐοίκασι τοῖς μὴ γινώσκουσιν. ἐμάθομεν οὖν, πῶς διῃρέθη ἡ φιλοσοφία εἰς θεωρητικὸν 59
καὶ πρακτικόν· ἐμάθομεν γὰρ ὅτι ὡς ὅλον εἰς μέρη ὁμοιομερῶς. τὸ γὰρ ἀφ' ἑνός, εἴρηται
ἐν τοῖς προλαβοῦσιν, οὐκ ἔστι κυρίως διαίρεσις. ταῦτα μὲν ἐν τούτοις. ἔλθωμεν δὲ 60
καὶ εἴπωμεν, πῶς διῃρέθη τὸ θεωρητικὸν εἰς φυσιολογικὸν μαθηματικὸν θεολογικόν. καὶ
ἰστέον ὅτι ὡς ἀπὸ γένους εἰς εἴδη οὐκ ἐγένετο ἡ διαίρεσις, ἐπειδὴ ἐν τοῖς ἀντιδιαιρουμέ-
νοις εἴδεσιν οὐκ ἔστιν, ὡς εἴρηται ἀνωτέρω, τὸ πρῶτον καὶ ὕστερον· καὶ γὰρ πρῶτόν ἐστι
τὸ φυσιολογικὸν καὶ δεύτερον τὸ μαθηματικὸν καὶ τρίτον τὸ θεολογικόν. ἄλλως τε οὐδέ-
ποτε τὰ γένη εἰς τρία διαιροῦνται, οἷον τὸ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον καὶ
πάλιν τὸ χρῶμα εἰς λευκὸν καὶ μέλαν. πῶς οὖν δυνάμεθα ὡς ἀπὸ γένους εἰς εἴδη εἰπεῖν
τὴν διαίρεσιν ὅπου τρία εἰσίν; ἔστι γὰρ τὸ φυσιολογικὸν τὸ μαθηματικὸν καὶ τὸ θεολο-
γικόν. ἔτι δὲ ἐν τοῖς ἀντιδιαιρουμένοις εἴδεσιν οὐδέποτε τὸ ἕτερον μετέχει τοῦ ἑτέρου, 61
οἷον οὔτε τὸ λογικὸν μετέχει τοῦ ἀλόγου οὔτε τὸ ἄλογον τοῦ λογικοῦ· εἰ δὲ τὸ μαθηματικὸν
καὶ τοῦ φυσιολογικοῦ καὶ τοῦ θεολογικοῦ μετέχει, καὶ τοῦ φυσιολογικοῦ μὲν ὡς ἐπὶ ἐνύ-
λων, τοῦ θεολογικοῦ δὲ ὡς ἐπὶ ἀΰλων, δῆλον ὅτι οὐκ ἐγένετο ὡς ἀπὸ γένους εἰς εἴδη ἡ
διαίρεσις. πρὸς τοῦτο δὲ λέγουσί τινες ὅτι ἰδοὺ τὸ ἔμψυχον γένος ὂν εἰς τρία διαι- 62
ρεῖται εἴδη οἷον εἰς ζῷον ζωόφυτον καὶ φυτόν, καὶ οὐ μόνον εἰς τρία εἴδη διαιρεῖται,

15 ἀνομοιομερῆ deleto ἀν M

λλὰ καὶ τὸ ἓν τῶν εἰδῶν μετέχει τῶν ἑτέρων· καὶ γὰρ τὸ ζῳόφυτον μετέχει τοῦ ζῴου καὶ ῦ φυτοῦ, ὡς καὶ ἡ ὀνομασία δηλοῖ. πρὸς οὓς | ἔστιν εἰπεῖν ὅτι ἐν τοῖς ἑξῆς δείκνυμεν ὴν διαίρεσιν ταύτην κακῶς ἔχουσαν. πάλιν ἀντιτιθέντες λέγουσιν ὅτι ἰδοὺ ἡ ῥητορικὴ ἑνος οὖσα εἰς τρία εἴδη διαιρεῖται· διαιρεῖται γὰρ εἰς δικανικὸν συμβουλευτικὸν πανηυρικόν. πρὸς οὓς ἔστιν εἰπεῖν ὅτι οὐ καλῶς ἔχει αὕτη ἡ διαίρεσις· οὐδέποτε γὰρ τὰ ντιδιαιρούμενα εἴδη ἔχουσι χρονικὴν διαφοράν· οἷον τὸ λογικὸν καὶ ἄλογον ἀντιδιαιούμενα εἴδη ὄντα οὐκ ἔχουσι χρονικὴν διαφοράν· οὐ γὰρ λέγομεν ὅτι τὸ μὲν λογικὸν περὶ ὸν παρελθόντα χρόνον καταγίνεται τὸ δὲ ἄλογον περὶ τὸν μέλλοντα. εἰ ἄρα δὲ ταῦτα χουσι χρονικὴν διαφοράν (καὶ γὰρ τὸ μὲν συμβουλευτικὸν περὶ τὸν μέλλοντα χρόνον κααγίνεται· ὁ γὰρ συμβουλεύων περὶ μελλόντων συμβουλεύει· τὸ δὲ δικανικὸν περὶ τὸν ταρεληλυθότα· καὶ γὰρ ὁ κρινόμενος περὶ τῶν παρελθόντων κρίνεται· τὸ δὲ πανηγυρικὸν τερὶ τὸν ἐνεστῶτα· αὔξησις γάρ ἐστι τῶν προσόντων καὶ ὑπαρχόντων ἀγαθῶν), δῆλον ὅτι ὐκ εἰσὶν εἴδη κυρίως ὡς ἀπὸ γένους διαιρούμενα. ἄλλως τε δὲ ἐν τοῖς ἀντιδιαιρουμένοις ἴδεσι τὰ τέλη οὐ συνυπάρχουσι. καὶ γὰρ τέλος μὲν τοῦ λογικοῦ ἐστι τὸ κεχρῆσθαι λόγῳ, οῦ δὲ ἀλόγου τὸ μὴ κεχρῆσθαι λόγῳ. οὔτε δὲ τὸ τέλος τοῦ λογικοῦ ὑπάρχει ἐν τῷ τέλει οῦ ἀλόγου οὔτε τὸ τέλος τοῦ ἀλόγου ἐν τῷ τέλει τοῦ λογικοῦ. εἰ ἄρα δὲ τὰ τέλη τούτων υνυπάρχουσι (καὶ γὰρ τοῦ δικανικοῦ μὲν τέλος ἐστὶ τὸ δίκαιον, τοῦ δὲ συμβουλευτικοῦ ὸ συμφέρον, τοῦ δὲ πανηγυρικοῦ τὸ ἀγαθόν, τὸ δὲ ἀγαθὸν συμφέρον καὶ δίκαιόν ἐστι ιαὶ τὸ δίκαιον συμφέρον καὶ ἀγαθὸν καὶ τὸ συμφέρον δίκαιον καὶ ἀγαθόν), δῆλον ὅτι ὐκ ἐγένετο ἡ διαίρεσις ὡς ἀπὸ γένους εἰς εἴδη. κακῶς οὖν ἔχει ἡ διαίρεσις τῆς ῥητοικῆς. ταῦτα μὲν οὖν ἐν τούτοις. ἀλλ' οὔτε δὲ ὡς ὅλον εἰς μέρη διῃρέθη τὸ θεωρηικόν. οὔτε γὰρ εἰς ὁμοιομερῆ δύναται εἶναι ἡ διαίρεσις οὔτε εἰς ἀνομοιομερῆ. καὶ γὰρ εἰς ὁμοιομερῆ μὲν οὐ δύναται γενέσθαι ἡ διαίρεσις, ἐπειδὴ εἰ καὶ τῷ ὅλῳ ὁμωνύμως λέγονται (λέγονται γὰρ ταῦτα θεωρητικὰ ὁμωνύμως τῷ θεωρητικῷ), ἀλλ' οὖν ἀλλήλοις οὐ λέγονται ὁμωνύμως· οὔτε γὰρ τὸ φυσιολογικὸν λέγεται μαθηματικὸν οὔτε τὸ μαθηματικὸν λέγεται θεολογικόν. ὁμοιομερῆ δὲ λέγεται, ὡς ἀνωτέρω εἴρηται, τὰ καὶ ἀλλήλοις καὶ τῷ ὅλῳ ὁμωνύμως λεγόμενα. ἀλλ' οὔτε δὲ εἰς ἀνομοιομερῆ δύναται εἶναι διαίρεσις, ἐπειδὴ εἰ καὶ ἀλλήλοις μὴ λέγονται ὁμωνύμως (οὐ γὰρ λέγεται τὸ φυσιολογικὸν μαθηματικὸν οὔτε τὸ μαθηματικὸν θεολογικόν), ἀλλ' οὖν τῷ ὅλῳ ὁμωνύμως λέγονται· καλοῦνται γὰρ θεωρητικὰ ὁμωνύμως τῷ ὅλῳ. ἀνομοιομερῆ δέ εἰσιν, ὡς ἀνωτέρω εἴρηται, τὰ μήτε ἀλλήλοις μήτε τῷ ὅλῳ | ὁμωνύμως λεγόμενα. ἀλλ' οὔτε δὲ ὡς ἀπὸ ὅλον εἰς μέρη, ἐπειδὴ οὔτε ὁμοιομερῆ δύναται εἶναι οὔτε ἀνομοιομερῆ διὰ τὴν αἰτίαν τὴν εἰρημένην περὶ τοῦ φυσιολογικοῦ μαθηματικοῦ θεολογικοῦ. καὶ γὰρ ταῦτα, φημὶ δὲ ἡ ἀριθμητικὴ καὶ ἡ μουσικὴ καὶ ἡ γεωμετρία καὶ ἡ ἀστρονομία, ἀλλήλοις μὲν οὐ λέγονται ὁμωνύμως (οὔτε γὰρ ἡ ἀριθμητικὴ λέγεται μουσικὴ οὔτε ἡ γεωμετρία ἀστρονομία), τῷ δὲ ὅλῳ ὁμωνύμως λέγονται· πάντα γὰρ ὁμωνύμως τῇ μαθηματικῇ μαθηματικὰ λέγονται καὶ τούτου χάριν κωλύονται καὶ ἀνομοιομερῆ εἶναι καὶ ὁμοιομερῆ. καὶ ὁμοιομερῆ μέν, ἐπειδή, ὡς εἴρηται, τὰ ὁμοιομερῆ καὶ ἀλλήλοις καὶ τῷ ὅλῳ ὁμωνύμως λέγονται, ταῦτα δὲ μόνῳ τῷ ὅλῳ ὁμωνύμως λέγονται. ἀνομοιομερῆ δὲ κωλύονται εἶναι, ἐπειδή, ὡς εἴρηται, τὰ ἀνομοιομερῆ οὔτε τῷ

---

21 λλ' M   33 καὶ ἡ superscriptum M

ὅλῳ οὔτε ἀλλήλοις ὁμωνύμως λέγονται. ἀλλ' οὔτε δὲ ὡς ἀπὸ εἴδους εἰς ἄτομα δύναται 67
γενέσθαι ἡ διαίρεσις οὔτε ὡς ἀπὸ οὐσίας εἰς συμβεβηκότα οὔτε ὡς ἀπὸ συμβεβηκότος εἰς
οὐσίας οὔτε ὡς ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα οὔτε ὡς ἀπὸ ὁμωνύμου φωνῆς εἰς διά-
φορα σημαινόμενα διὰ τὰς αἰτίας τὰς εἰρημένας περὶ τοῦ θεωρητικοῦ καὶ πρακτικοῦ,
ἀλλ' εἰσὶ τῶν ἀφ' ἑνός· ἀπὸ ἑνὸς γὰρ τοῦ μαθηματικοῦ λέγονται πάντα μαθηματικά. ἐν
οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις κγ'. Εἰπόντες διαίρεσιν τοῦ θεωρητικοῦ ἔλθωμεν καὶ ἐπὶ τὴν διαίρεσιν 68
τοῦ πρακτικοῦ. εἰ γὰρ καὶ μετὰ τὸ θεωρητικόν ἐστι διὰ τὸ ἐκ τοῦ θεωρητικοῦ ἔρχεσθαι
ἐπὶ τὸ πρακτικὸν καὶ μετὰ λόγου κοσμεῖν τὸ ἦθος καὶ ὑποτάσσειν τὰ πάθη, ἀλλ' οὖν οὐ
δεῖ καταφρονεῖν αὐτοῦ, ἐπειδή, ὥς φησιν ὁ Πλάτων, φιλόσοφον ἐγὼ οὐ καλῶ τὸν πολλὰ
εἰδότα καὶ πολλὰ ἀποστηθίσαι δυνάμενον, ἀλλὰ τὸν ἀκηλίδωτον καὶ ἄρρυπον βίον κτησά-
μενον. ἀναγκαίως γάρ ἐστι φιλόσοφος οὐχ ὁ πολλὰ εἰδὼς ἀλλ' ὁ τῶν παθῶν κρατῶν,
καὶ αὐτὸς δὲ διὰ τοῦ λόγου τῶν παθῶν κρατεῖ ὡς λογικός. ἔλθωμεν οὖν καὶ εἴπωμεν Br. 1
τὴν διαίρεσιν τοῦ πρακτικοῦ. | ἀλλ' ἰστέον ὅτι ἄλλως τὸ πρακτικὸν διαιροῦσιν οἱ 69
Ἀριστοτελικοὶ καὶ ἄλλως οἱ Πλατωνικοί. οἱ γὰρ Ἀριστοτελικοὶ εἰς τρία αὐτὸ διαιροῦσιν,
εἰς ἠθικὸν οἰκονομικὸν πολιτικόν. εἰκότως δὲ εἰς τρία διαιρεῖται, ἐπεὶ ὁ κοσμῶν ἦθος
ἢ ἑνὸς ἦθος κοσμεῖ καὶ γίνεται ⟨τὸ⟩ ἠθικὸν ἢ οἴκου καὶ γίνεται τὸ οἰκονομικὸν ἢ πόλεως καὶ
γίνεται τὸ πολιτικόν. ὅτι γάρ φησι εἰς τρία ταῦτα διαιρεῖται δείκνυται διὰ τῶν συγγραμ-
μάτων Ἀριστοτέλους. καὶ γὰρ ὁ Ἀριστοτέλης ἔγραψε τὰ ἠθικά, ἐν οἷς περὶ ἤθους διαλέ-
γεται, ἔγραψε δὲ καὶ τὰ οἰκονομικά, ἐν οἷς περὶ διοικήσεως οἴκου δια|λέγεται· ἔνθα λέγει 159r
ὅτι τέσσαρά τινα δεῖ συνδραμεῖν εἰς σύστασιν οἴκου· σχέσιν ἀνδρὸς πρὸς γυναῖκα, στορ-
γὴν πατρὸς πρὸς τέκνα, δέος οἰκετῶν πρὸς δεσπότην, καὶ ἵνα ᾖ σύμμετρα τὰ ἐξιόντα τοῖς
εἰσιοῦσιν· ἑκατέρα γὰρ ἀμετρία αἰσχρά ἐστιν. εἴτε γὰρ πολλὰ εὑρεθῶσι τὰ εἰσιόντα ὀλίγα
δὲ τὰ ἐξιόντα, αἰσχρόν τι συμβαίνει· ὁ γὰρ τοιοῦτος φιλάργυρος εὑρίσκεται· εἴτε πάλιν
ὀλίγα εὑρεθῶσι τὰ εἰσιόντα πολλὰ δὲ τὰ ἐξιόντα, αἰσχρόν τι συμβαίνει· εὑρίσκεται γὰρ ὁ
τοιοῦτος ἄσωτος. ἔγραψε δὲ καὶ τὰ πολιτικά, ἐν οἷς λέγει, πῶς δεῖ πόλιν διοικεῖν. ὁμοί- 70
ως δὲ καὶ ὁ Πλάτων ἔγραψε πολιτικά· τὸν αὐτὸν δὲ σκοπὸν ἔχει τῷ Ἀριστοτέλει. ἰστέον Br. 1
δὲ ὅτι ἐν μὲν τῷ πολιτικῷ συγγράμματι ἕνα σκοπὸν ἔχει καὶ ὁ Ἀριστοτέλης καὶ ὁ Πλάτων·
ἀμφότεροι γὰρ λέγουσι, πῶς δεῖ διοικεῖσθαι πόλιν· ἐν δὲ τῷ περὶ πολιτείας διάφορός ἐστι
καὶ ὁ σκοπὸς καὶ ἡ ἐπιγραφή. καὶ ἡ μὲν ἐπιγραφή, ὅτι ὁ μὲν Πλάτων ἑνικῶς ἐπέγραψε
Πολιτεία, ὁ δὲ Ἀριστοτέλης πληθυντικῶς Πολιτεῖαι· ὁ δὲ σκοπός ἐστι διάφορος ὅτι ὁ μὲν
Ἀριστοτέλης λέγει, πῶς ἐπολιτεύοντο οἱ ἀρχαῖοι οἷον οἱ Ἀργεῖοι οἱ Βοιωτοί, ὁ δὲ Πλάτων
λέγει, πόσα εἴδη πολιτειῶν καὶ πῶς δεῖ πολιτεύεσθαι. ταῦτα μὲν ἐν τούτοις. οἱ δὲ 71
Πλατωνικοὶ λαμβάνονται τῆς διαιρέσεως λέγοντες ὅτι κακῶς ἡ παροῦσα διαίρεσις ἔχει·
οὐδέποτε γὰρ γένος εἰς τρία εἴδη διαιρεῖται, ἀλλὰ πάντως εἰς δύο, οἷον τὸ σῶμα εἰς λο-
γικὸν καὶ ἄλογον, τὸ χρῶμα εἰς λευκὸν καὶ μέλαν. ἄλλως τε δὲ οὐδέποτε τὰ ἀντιδιαι-
ρούμενα εἴδη τὸ αὐτὸ τέλος ἔχουσιν· οἷον τὸ λογικὸν καὶ τὸ ἄλογον οὐκ ἔχουσι τὸ αὐτὸ

---

12 ἀναγκαίως scripsi: ἀναγκαῖος M 14 τὸ πρακτικὸν ἄλλως Br. 16 εἰς οἰκονομικὸν εἰς πολιτικόν Br. εἰκότως — Ἀριστοτέλει (v. 27) om. VBr. 17 ⟨τὸ⟩ addidi 23 ὀλίγα in litura M 28 δὲ om. Br. τῷ τῶν πολιτικῶν συγγράμματι 31 Πολιτείαν Br. Πολιτείας Br. 35 οἷον τὸ σῶμα — ἡ διαίρεσις (22, 19) om. VBr.

ς. τὸ μὲν γὰρ λογικον τέλος ἔχει τὸ κεχρῆσθαι λόγῳ, το δὲ ἄλογον τὸ μη κεχρῆσθαι ῃ. ταῦτα δε το αὐτο τέλος ἔχουσι· φημι δὲ τὸ κοσμεῖν τὸ ἦθος. ἔτι δὲ οὐδέποτε τὸ ον το αὐτο εἶδος ἐναλλάττει, οἷον τὸ μικρὸν τρίγωνον καὶ τὸ μέγα τρίγωνον τοῦ αὐτοῦ υς εἰσι τῷ ποσῷ διαφέροντα· ἐν δὲ τοῖς ἀντιδιαιρουμένοις εἴδεσιν οὐκ ἔστι τὸ αὐτὸ ς· ἄλλο γὰρ εἶδος τοῦ λογικοῦ και ἄλλο τοῦ ἀλόγου. τὸ δὲ ἠθικὸν καὶ τὸ οἰκονομι- και το πολιτικὸν ἑνὸς εἴδους εἰσίν· οὐκ ἐπειδὴ γὰρ τὸ μὲν ἠθικὸν ἓν ἦθος κοσμεῖ, τὸ ιἰκονομικον πλειόνων, τὸ δὲ πολιτικὸν ὅλης τῆς πόλεως, παρὰ τοῦτο καὶ διάφορά εἰσιν ι· και γὰρ και ἡ δικαιοσύνη ἡ ἐν μιᾷ ψυχῇ θεωρουμένη καὶ ἡ δικαιοσύνη ἡ ἐν πολλαῖς χαῖς θεωρουμένη ἡ αὐτὴ κατὰ φύσιν ἐστί. ἔτι δὲ οὐδέποτε ἐν τοῖς ἀντιδιαιρουμένοις σι το ἕτερον ἐν τῷ ἑτέρῳ | θεωρεῖται· οὐδὲ γὰρ τὸ λογικὸν ἐν τῷ ἀλόγῳ θεωρεῖται ι τὸ ἄλογον ἐν τῷ λογικῷ. εἰ δὲ καὶ τὸ ἠθικὸν καὶ τὸ οἰκονομικὸν ἐν τῷ πολιτικῷ ρεῖται (καὶ γὰρ ὁ δυνάμενος κοσμῆσαι πόλιν καὶ οἶκον δύναται κοσμῆσαι ἕνα), δῆλον οὐκ εἰσὶν εἴδη διάφορα. ἔτι οὐδέποτε ἓν εἶδος μόνον ἰσοδυναμεῖ τῷ γένει. οὔτε γὰρ λογικὸν μόνον ἰσοδυναμεῖ τῷ ζῴῳ οὔτε τὸ ἄλογον μόνον, ἀλλὰ τὰ δύο ἅμα. τὸ δὲ ιτικὸν μόνον ἰσοδυναμεῖ τῷ πρακτικῷ· εἰ γὰρ κατ' αὐτούς, φασί, τὸ πρακτικὸν διαι- αι εἰς ἠθικὸν καὶ οἰκονομικὸν καὶ πολιτικόν, τὸ δὲ πολιτικὸν περιέχει ἐν ἑαυτῷ καὶ ἠθικὸν καὶ τὸ οἰκονομικόν (καὶ γὰρ ὁ δυνάμενος κοσμῆσαι πόλιν δύναται καὶ ἕνα μῆσαι οἶκον), δῆλον ὅτι ἰσοδυναμεῖ τὸ πολιτικὸν τῷ πρακτικῷ. εἰ δὲ ἰσοδυναμεῖ αὐτῷ, ον ὅτι κακῶς ἐγένετο ἡ διαίρεσις.

Πρᾶξις κδ'. Λαβόμενοι οἱ Πλατωνικοὶ τῆς Ἀριστοτελικῆς διαιρέσεως τοῦ πρακτι- ἔρχονται καὶ διαιροῦσι τὸ πρακτικὸν εἰς δύο, εἰς νομοθετικὸν καὶ δικαστικόν· καὶ ο εὐλόγως. ὁ γὰρ φιλόσοφος ἢ τίθησι νόμους, δι' ὧν ὤφειλεν ἀεὶ τὸ ἦθος κοσμεῖν, γίνεται τὸ νομοθετικόν, ἢ δικάζει κατὰ τοὺς ἐκτεθέντας νόμους καὶ γίνεται τὸ δικαστι- καὶ ὃν λόγον ἔχει τὸ νομοθετικὸν πρὸς τὰς πόλεις φυλάττον τὰ ἐν αὐταῖς δίκαια, ον τὸν λόγον ἔχει καὶ τὸ δικαστικὸν πρὸς τὸ νομοθετικὸν φυλάττον τὰ ἐν αὐτῷ παραγ- ματα. τὸ γὰρ ἠθικὸν καὶ οἰκονομικὸν καὶ πολιτικὸν ὕλης τάξιν ἐπέχουσι πρὸς τὸ οθετικὸν καὶ δικαστικόν· καὶ γὰρ ὁ νομοθετῶν ἢ ἑνὸς ἦθος κοσμεῖ ἢ οἴκου ἢ πόλεως τὸ τοὺς νόμους τιθέναι, καθ' οὓς ὤφειλεν ἕκαστος πολιτεύεσθαι· καὶ ὁ δικάζων δὲ ίως ἢ ἑνὶ δικάζει ἢ οἴκῳ ἢ πόλει. τοῦτο δὲ αὐτό, φημὶ δὲ τὸ νομοθετικὸν καὶ κστικόν, ὁ ποιητὴς αἰνιττόμενος λέγει ὅτι ὁ Μίνως καὶ ὁ Ῥαδάμανθυς ἀδελφοὶ ἦσαν φότεροι γὰρ εἶχον πατέρα τὸν Δία) καὶ ὁ μὲν Μίνως ἦν νομοθέτης, ὁ δὲ Ῥαδάμανθυς αστής, τοῦτο αἰνιττόμενος ὅτι καὶ τὸ νομοθετικὸν καὶ δικαστικὸν ἀπὸ ἑνὸς τοῦ πρακτι- διέχθησαν. φησὶ δὲ πάλιν ὅτι ο μὲν Μίνως πρεσβύτερος ἦν κατὰ τὸν χρόνον, ὁ δὲ ιάμανθυς μεταγενέστερος, τοῦτο αἰνιττόμενος ὅτι τὸ νομοθετικὸν πρὸ τοῦ δικαστικοῦ . καὶ γὰρ εἰ μὴ πρότερον θῇ τις νόμους, οὐ δύναται κατ' αὐτοὺς δικάσαι. ἰστέον ὅτι οὐκ ἐγένετο ἡ διαίρεσις τοῦ πρακτικοῦ εἰς τὸ νομοθετικὸν καὶ δικαστικὸν ὡς ἀπὸ υς εἰς εἴδη, ἐπειδὴ τὰ εἴδη τὰ ἀπὸ γένους διαιρούμενα οὐκ ἐπιδέχονται τὸ πρότερον ὕστερον· οἷον τὸ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον καὶ οὔτε τὸ λογικὸν πρότερόν ν οὔτε τὸ ἄλογον, ἀλλ' ἅμα ἐγένοντο. εἰ δὲ τὸ νομοθετικον πρὸ τοῦ δικαστικοῦ ἔστιν

22 ὁ γὰρ φιλόσοφος — ἢ οἴκῳ ἢ πόλει (29) om. V Br. 29 φημὶ δὴ Br. 30 καὶ ὁ ποιητὴς Br. ι τὸ νομοθετικὸν Br. 34 τοῦτο — πρακτικόν (23, 5) om. Br.

(εἰ μὴ γάρ τις θῇ πρῶτον νόμους, οὐ δύναται κατ' αὐτοὺς δικάσαι), δῆλον ὅτι οὐκ ἐγένετο ἡ διαίρεσις ὡς ἀπὸ γένους εἰς εἴδη. τοῖς δὲ αὐτοῖς λόγοις χρώμενος οἷσπερ ἐχρησάμεθα ἐπὶ τοῦ φυσιολογικοῦ καὶ μαθηματικοῦ καὶ θεολογικοῦ εὑρήσεις ὅτι οὐδένα καθ' ἕνα τῶν ἄλλων τρόπων ἐγένετο ἡ διαίρεσις, ἀλλ' εἰσὶ τῶν ἀφ' ἑνός· ἀφ' ἑνὸς γὰρ τοῦ πρακτικοῦ καὶ τὸ νομοθετικὸν καὶ τὸ δικαστικὸν λέγεται πρακτικόν. μαθόντες οὖν κτλ. Br. 1

ΑΜΜΩΝΙΟΥ ΤΟΥ ΕΡΜΕΙΟΥ ΕΙΣ ΤΑΣ ΠΕΝΤΕ ΦΩΝΑΣ ΤΟΥ ΠΟΡΦΥΡΙΟΥ ΥΠΟΜΝΗΜΑ.

...Ἀκόλουθον καὶ περὶ τῆς ἐν τῇ φιλοσοφίᾳ διαιρέσεως εἰπεῖν. διαιρεῖται γὰρ ὡς fol. 3
ανωτάτω διελεῖν ἔστι κατὰ μέν τινας εἰς δύο, εἰς θεωρητικὸν καὶ πρακτικόν, κατὰ δὲ ἑτέρους εἰς τρία. τινὲς γὰρ εἰς τρία διαιροῦσι τὴν φιλοσοφίαν, εἰς θεωρητικὸν καὶ πρακτικὸν καὶ λογικόν. εἰ δ' οὕτως ἔχει ἢ μή εἰσόμεθα. νῦν δὲ λέγωμεν περὶ τῶν τριῶν εἰδῶν τοῦ θεωρητικοῦ. ἔστιν οὖν τῇ ἀληθείᾳ πρῶτον αὐτοῦ εἶδος τὸ θεολογικόν. ἀρχαὶ γὰρ πάντων τὰ θεῖα· διὸ καὶ οὐκ ἀκαίρως οἱ παλαιοὶ τοῦτο προέθηκαν. τὸ δὲ φυσιολογικὸν ὡς μὲν πρὸς ἡμᾶς πρῶτον (οὐ γὰρ ἂν γνοίημεν τὴν νοητὴν οὐσίαν πρὸ τῆς αἰσθητῆς), ὡς δὲ πρὸς τὸ ἀληθὲς ἔσχατον· ἐσχάτη γὰρ οὐσία ἡ ἔνυλος, διὸ καὶ τὴν ἐσχάτην εἴληφε τάξιν. μέσον δὲ τούτων τὸ μαθηματικόν, ἐπειδὴ καὶ κατὰ φύσιν μέσην ἔχει τάξιν. τοῦτο δέ τινες τῶν πάλαι προέταξαν τοῦ φυσιολογικοῦ, οἱ μὲν κατὰ Πλάτωνα, ἵνα, φασί, τὰς ἰδέας ἐν τῇ ψυχῇ ἤδη ἀποκειμένας ἐπιγινώσκωμεν ἤτοι ἀναμιμνησκώμεθα τὰ ἐν τοῖς καθέκαστον θεωρούμενα ὁδῷ τινι καὶ κλίμακι τῷ μαθηματικῷ χρώμενοι, οἱ δὲ κατὰ Ἀριστοτέλην τὸ ἀνάπαλιν βουλόμενοι ἡμᾶς ἐθίζειν ἀπὸ τῆς ἐνύλου οὐσίας γινώσκειν τὴν νοητήν, ἥτις ἐστὶ μὲν ἀόρατος, πλείονα δὲ ἔχει καὶ ἐνεργεστέραν τὴν ὑπόστασιν ἢ κατὰ ὕλην. καὶ γὰρ ἐνταῦθα τὴν γραμμὴν τὴν ἐν τῇ ὕλῃ μανθάνομεν οὐχ ὅπως | τὴν ὕλην ἢ 10v
τὸν κηρὸν ἢ τὸν χαλκὸν γνοίημεν, ἀλλ' ἵνα ἀποσυλήσαντες αὐτὴν ἀποθώμεθα εἰς τὸν νοῦν, ἔνθα βεβαιοτέραν ὁρῶμεν αὐτῆς τὴν ὑπόστασιν. ὅτι δὲ οὐ κοινωνεῖ τῷ κηρῷ κατὰ τὴν οὐσίαν τὸ σχῆμα οἷον ἡ γραμμὴ ἢ τὸ τρίγωνον, αὐτόθεν δῆλον. ἰστέον γοῦν αὐτίκα τριγώνου σχήματος μεταβληθέντος ἀφαιρεθείσης τῆς μιᾶς πλευρᾶς οὐ συμμεταβάλλεται ὁ κηρός· καίτοι εἰ ἐκοινώνει κατὰ τὴν οὐσίαν, ἔδει συμμεταβάλλεσθαι. διαιρεῖται οὖν ἡ φιλοσοφία, ὡς ἤδη εἴρηται, εἴς τε θεωρητικὸν καὶ πρακτικόν. ἄξιον δέ ἐστι ζητῆσαι, δι' ἣν αἰτίαν εἰς δύο καὶ διὰ τί εἰς ταῦτα διαιρεῖται καὶ μήτε εἰς πλείονα μήτε εἰς ἐλάττονα. καὶ εἰς ἐλάττονα μὲν ἀδύνατον ἦν ποιῆσαι τὴν διαίρεσιν· οὐδὲ γὰρ ἂν τὸ ἓν εἰς ἓν διαιρεθείη. διὰ τί οὖν μὴ εἰς πλείονα ἀλλ' εἰς δύο; τούτου δὲ αἰτίαι δύο εἰσίν. ἐπειδὴ γὰρ

V = ed. Venet. (1545) fol. 10r 4—14r 19. M = Monacens. 222 (saec. XIV) fol. 3r—4v.

9 εἰς θεωρητικὸν καὶ πρακτικόν V: om. M 10 καὶ γάρ τινες V καὶ (post θεωρητικὸν) om. V 11 νῦν — θεολογικόν (12) V: ἰστέον δὲ ὅτι τῆς διαιρέσεως τῇ ἀληθείᾳ τὸ θεολογικὸν πρῶτόν ἐστιν M 13 γὰρ V: δὲ M προέθηκαν M: προσέθηκαν V 17 φασὶ V: φησὶ M 20 τὸ ἀνάπαλιν M: τὴν μέσην τάξιν αὐτῷ ἀπενείμαντο V 21 ἥτις V: ἢ M 28 δέ ἐστι V: δὲ M

μεν τὴν φιλοσοφίαν ὁμοίωσιν εἶναι θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ὁ δὲ θεὸς διττὰς ιὰς ἐνεργείας, τὰς μὲν | γνωστικὰς τῶν ὄντων πάντων, τὰς δὲ προνοητικὰς τῶν κατα- έρων, εἰκότως ἡ φιλοσοφία διαιρεῖται εἰς τὸ θεωρητικὸν καὶ πρακτικόν. διὰ γὰρ θεωρητικοῦ γινώσκομεν τὰ ὄντα, διὰ δὲ τοῦ πρακτικοῦ προνοούμεθα τῶν καταδεεστέ- καὶ οὕτως ἐξομοιοῦμεν ἑαυτοὺς τῷ θεῷ. πάλιν δὲ τῆς ἡμετέρας ψυχῆς διτταὶ αἱ ειαι· αἱ μὲν γνωστικαὶ οἷον νοῦς δόξα αἴσθησις φαντασία καὶ διάνοια, αἱ δὲ ζωτικαὶ ὀρεκτικαὶ οἷον βούλησις προαίρεσις θυμὸς καὶ ἐπιθυμία. ὁ οὖν φιλόσοφος πάντα τὰ ψυχῆς μέρη βούλεται κοσμῆσαι καὶ εἰς τελείωσιν | ἀγαγεῖν. διὰ γοῦν τοῦ θεωρητικοῦ οῦται τὸ ἐν ἡμῖν γνωστικόν, διὰ δὲ τοῦ πρακτικοῦ τὸ ζωτικόν. εἰκότως οὖν ἡ φιλο- α διαιρεῖται εἰς δύο, εἴς τε θεωρητικὸν καὶ πρακτικόν. πάλιν τὸ θεωρητικὸν διαι- ιι [εἰς δύο· εἰς τὸ πραγματικὸν καὶ τὸ λογικόν, καὶ τὸ μὲν πραγματικὸν] εἰς τρία· θεολογικὸν καὶ μαθηματικὸν καὶ φυσιολογικόν. καὶ τοῦτο εἰκότως, ἐπειδὴ πάντα ντα βούλεται θεωρεῖν ὁ φιλόσοφος, τῶν δὲ ὄντων πάντων τρεῖς εἰσι τάξεις. τὰ μὲν τῶν πραγμάτων παντάπασίν εἰσι χωριστὰ τῆς ὕλης καὶ τῇ ὑποστάσει καὶ τῇ περὶ ῶν ἐπινοίᾳ, οἷά ἐστι τὰ θεῖα, τὰ δὲ παντάπασιν ἀχώριστα τῆς ὕλης καὶ τῇ ὑποστάσει τῇ περὶ αὐτῶν ἐπινοίᾳ, οἷά ἐστι τὰ φυσικὰ καὶ ἔνυλα εἴδη οἷον ξύλου καὶ ὀστοῦ καὶ κὸς καὶ πάντα ἁπλῶς εἰπεῖν τὰ σώματα. ταῦτα δὲ φυσικὰ καλοῦμεν ὡς ὑπὸ φύσεως ιουργούμενα προσεχῶς. τὰ δὲ μέσα τούτων ὄντα κατά τι μέν ἐστι χωριστά, κατά τι ἀχώριστα, οἷά ἐστι τὰ μαθηματικά. κύκλος γὰρ καὶ τρίγωνον καὶ τὰ τοιαῦτα καθ' τὰ ὑποστῆναι δίχα ὕλης τινὸς οὐ δύνανται καὶ κατὰ τοῦτο ἀχώριστά ἐστι τῆς ὕλης· ιδὴ δὲ θεασάμενοι κύκλον ξύλινον καὶ χαλκοῦν καὶ λίθινον ἀνεμαξάμεθα τὸ εἶδος οῦ τοῦ κύκλου ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ καὶ ἔχομεν παρ' ἑαυτοῖς δίχα τῆς ὕλης, ὥσπερ ηρὸς λάβοι τὸ ἐκτύπωμα τοῦ δακτυλίου μὴ προσλαβών τι τῆς ὕλης, κατὰ τοῦτο χωριστά ι τῆς ὕλης καθὸ τῇ ἐπινοίᾳ χωρίζεται. ἐπεὶ οὖν τῶν ὄντων τὰ μέν ἐστι παντάπασι χωριστά, δὲ παντάπασιν ἀχώριστα, τὰ δὲ κατά τι μὲν χωριστὰ κατά τι δὲ ἀχώριστα, εἰκότως τὸ ρητικὸν διαιρεῖται εἰς [τὸ πραγματικὸν καὶ τὸ λογικόν, τὸ δὲ πραγματικὸν διαιρεῖται τρία, εἰς] θεολογικὸν | μαθηματικὸν καὶ φυσιολογικόν. τὰ μὲν οὖν παντάπασι χωριστὰ ινέμουσι τῷ θεολογικῷ μέρει, τὰ δὲ παντάπασιν ἀχώριστα τῷ φυσιολογικῷ, τὰ δὲ κατά μὲν χωριστὰ κατά τι δὲ ἀχώριστα τῷ μαθηματικῷ. ὅτι δὲ τὰ μὲν ἔνυλα εἴδη παντά- σίν ἐστιν ἀχώριστα τῆς ὕλης, τὰ δὲ μαθηματικὰ χωριστά, δῆλον ἐκ τῶν ὁρισμῶν. κύκλον ὁριζόμενοι οὐδεμίαν ὕλην παραλαμβάνομεν λέγοντες· κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ ς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς τοῦ σχήματος κειμένων ται αἱ προσπίπτουσαι εὐθεῖαι πρὸς τὴν τοῦ κύκλου περιφέρειαν ἴσαι ἀλλήλαις εἰσίν· ν δὲ ὁριζόμενοι ἄνευ ὕλης ἀδυνατοῦμεν ὁρίζεσθαι, φαμὲν οὖν ὅτι οἰκός ἐστι σκέπασμα

1 κατὰ τὸ δυνατὸν ἀνθρώπῳ om. M 2 post προνοητικὰς add. ἡμῶν M 3 τὸ om. V 6 καὶ V 7 προαίρεσις om. M καὶ (post θυμὸς) om. M 11 εἰς δύο· εἰς τὸ πραγματικὸν καὶ τὸ λογικόν, τὸ μὲν πραγματικὸν inseruit M: om. V 12 καὶ (post θεολογικὸν) om. M εἰκότως καὶ τοῦτο M ἐπειδὴ πάντα M 14 εἰσι M: ἐστι V 16 οἷον om. M ξύλα an ξύλου M incertum καὶ (ante σαρκὸς) M 17 εἰπεῖν om. V 19 κύκλος μὲν γὰρ V 22 ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ om. M 23 λάβῃ M πεὶ οὖν τῶν V: τῶν οὖν M 25 εἰκότως τὸ V: τὸ γοῦν M 26 τὸ πραγματικὸν καὶ τὸ λογικόν, δὲ πραγματικὸν διαιρεῖται εἰς τρία εἰς (27) inseruit M: om. V 27 οὖν M: γὰρ V 30 δῆλον καὶ ἐκ M ὅτι om. M

κωλυτικὸν ὄμβρων καὶ καυμάτων ἐκ λίθων καὶ ξύλων συνιστάμενον. εἰ γὰρ μὴ προσθῶμεν τὴν ὕλην, οὐ δυνατὸν καὶ σκηνὴν καὶ ἕτερα τοιαῦτα ὁρίσασθαι. μέσον δέ ἐστι τὸ μαθηματικὸν εἰκότως. ἐπειδὴ γὰρ οὐ δυνάμεθα ἀμέσως ἀπὸ τῶν φυσικῶν ἐπὶ τὰ θεῖα ἀνάγεσθαι καὶ ἀπὸ τῶν παντάπασιν ἀχωρίστων τῆς ὕλης ἐπὶ τὰ παντάπασι χωριστά, ὁδεύομεν διὰ τῶν μαθηματικῶν τῶν κατά τι μὲν χωριστῶν κατά τι δὲ ἀχωρίστων. διὰ τοῦτο γὰρ καὶ μαθήματικὰ λέγονται ὅτι δεῖ ταῦτα μαθόντας καὶ ἐθισθέντας ἀσωμάτως νοεῖν ἀνάγεσθαι ἐπὶ τὰ θεῖα. διό φησι Πλωτῖνος ὁ θεῖος· ʽπαραδοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεωςʼ. ἐὰν γὰρ βουληθῶμεν εὐθὺς ἀπὸ τῶν φυσιολογικῶν ἐπὶ θεολογίαν ἀμέσως αὐτοὺς ἀναγαγεῖν, τυφλώττομεν καθάπερ οἱ | ἐκ σκο- 12r
τεινοτάτου οἴκου εἰς πεφωτισμένον ἀμέσως ἐξερχόμενοι. δεῖ γὰρ πρότερον ἐν οἴκῳ διατρίβειν ἔχοντι σύμμετρον φῶς, εἶθ᾽ οὕτως ἐλθεῖν εἰς τὸν πάνυ πεφωτισμένον. οὕτως οὖν μετὰ τὰ φυσικὰ δεῖ διατρίψαντας ἐν τοῖς μαθήμασιν ἀνάγεσθαι ἐπὶ θεολογίαν. κλῖμαξ γάρ τις καὶ γέφυρά ἐστι τὰ μαθήματα κοινωνοῦντα μὲν τοῖς φυσικοῖς καθὸ ἀχώριστα, τοῖς δὲ θείοις καθὸ χωριστά. καὶ τὸ φυσιολογικὸν μὲν οὖν καὶ τὸ θεολογικὸν ὑποδιαιρέσεις τινὰς ἐπιδέχονται. ἀλλὰ τὰς μὲν τούτων ὑποδιαιρέσεις ὡς ἀσυμμέτρους οὔσας εἰσαγωγικαῖς ἀκοαῖς σιωπήσομαι, τὸ δὲ μαθηματικὸν διαιρεῖται εἰς τέσσαρα, εἰς γεωμετρίαν ἀστρονομίαν μουσικὴν καὶ ἀριθμητικήν. καὶ ἡ μὲν ἀριθμητικὴ τοὺς ἀριθμοὺς ἐπισκέπτεται (ἔστι δὲ θεῖα τὰ ἀριθμητικὰ θεωρήματα. οὐ γὰρ τὸν λεγόμενον ἀριθμὸν παρὰ τοῖς ἰδιώταις, | f. 4r
καθ᾽ ὃν ἀπαριθμοῦνται, θεωρεῖ ἡ ἀριθμητική, ἀλλὰ τὰ εἴδη τοῦ ἀριθμοῦ καὶ ὁποίαν σχέσιν ἔχουσι πρὸς ἄλληλα, οἷον ὁ ἓξ πρὸς τὰ τρία τὸν διπλάσιον ἔχει λόγον καὶ ὁ ἐννέα πρὸς τὸν ἓξ τὸν ἡμιόλιον. ἔτι γε μὴν καὶ τὰς γενέσεις τῶν ἀριθμῶν τοῦ τε ἀρτίου καὶ τοῦ περιττοῦ καὶ τοῦ περισσαρτίου καὶ ἄλλα πολλὰ τῶν τοιούτων ἐπισκέπτεται)· ἡ δὲ γεωμετρία τὰ μεγέθη καὶ τὰ σχήματα· ἡ δὲ μουσικὴ τὰς τῶν χορδῶν συμφωνίας. ἐπιτηδεύει δὲ καί τινα μέλη κοιμίζοντα μὲν τὰ τῆς ψυχῆς πάθη διεγείροντα δὲ αὐτὴν ἐπ᾽ ἀρετήν. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δηλοῖ τὰ ἔτι σωζόμενα ἴχνη καὶ αἱ οἷον ἀποπτώσεις τῆς μουσικῆς. ἀκούοντες γοῦν σάλπιγγος θυμικώτερον διατιθέμεθα | καὶ διὰ τοῦτο ἐν τοῖς πο- 12v
λέμοις ἡ σάλπιγξ ἐπιτηδεύεται, ἀκούοντες δὲ θεατρικῶν μελῶν ἐκλυτώτερον διακείμεθα τὰς ψυχάς. φέρεται δὲ καὶ ἱστορία τοιαύτη ὅτι Πυθαγόρας ἑορακώς τινα νέον αὐλητρίᾳ ἔκλυτον μέλος αὐλούσῃ ἑπόμενον κελεῦσαι αὐτὴν στρέψασαν τὸν αὐλὸν αὐλῆσαι καὶ τούτου γενομένου παῦσαι τοῦ νέου τὴν ἐπιθυμίαν. ὥστε οὐ δεῖ ἀπιστεῖν τοῖς λεγομένοις περὶ τῆς θείας μουσικῆς. διὰ τοῦτο δὲ ὁ θεῖος Πλάτων παρακελεύεται τοὺς νέους καὶ διὰ μουσικῆς καὶ διὰ γυμναστικῆς ἰέναι, ἵνα διὰ μὲν τῆς μουσικῆς τὴν ψυχὴν ἐπικοσμῶσι, διὰ δὲ τοῦ γυμνασίου τὸ σῶμα. ἡ δὲ ἀστρονομία καταγίνεται περὶ τὰς ἐποχὰς τῶν ἀστέρων.

διὰ τί δὲ εἰς τέσσαρα διαιρεῖται ἡ μαθηματικὴ καὶ μὴ εἰς πλείονα ἢ ἐλάττονα, νῦν

---

1 *κωλυτικὸν ὄμβρων καὶ καυμάτων* M: *ὄμβρων τε καὶ καυμάτων κωλυτικὸν* V *συνιστάμενον* M: om. V 2 *ἕτερα τοιαῦτα ὁρίσασθαι* M: *ἑτέραν τοιαύτην σκέπην νοῆσαι* V 3 *ἐπειδὴ* M: *ἐπεὶ* V 5 *διὰ τῶν μαθηματικῶν ὁδεύομεν* V 6 *μαθηματικὰ* M: *μαθήματα* V *μαθόντας* M: *μανθάνοντας* V 7 *διό φησι Πλωτῖνος ὁ θεῖος* M: *καὶ γὰρ ὁ θεῖός φησι Πλωτῖνος* V 8 *συνεθισμὸν* V: *ἐθισμὸν* M 9 *αὐτοὺς* M: *ἑαυτοὺς* V 11 *πάνυ πεφωτισμένον* M: *φωτεινότατον* V 15 *ἀσυμμέτρους* V: *συμμέτρους* M 16 *ἀκοαῖς* M: *ἀγωγαῖς* V *σιωπήσομαι* M: *σιωπήσωμεν* V *γεωμετρίαν καὶ ἀστρονομίαν καὶ μουσικὴν* M 19 *καθ᾽ ὃν*: *καθ᾽ ὃ* M 20 *ἔχουσι* M: *ἔχει* V *ἓξ* M: *ἕκτος* V *τὰ τρία* M: *τὸν τρίτον* V *ἐννέα* M: *ἔννατος* V 21 *ἓξ* M: *ἕκτον* V 22 *τοῦ* (ante *περισσαρτίου*) om. M 25 *καὶ αἱ οἷον* M: *καὶ οἷον* V 26 *γοῦν* M: *γὰρ* V 27 *ἐκλυτώτερον* M: *ἐκλυτότερον* V 31 *μουσικῆς τῆς θείας* M

ωμεν. ἰστέον ὅτι τὸ μαθηματικὸν περὶ τὸ ποσὸν καταγίνεται, του δὲ ποσοῦ τὸ μέν ι συνεχές, τὸ δὲ διωρισμένον. διαιρεῖται δὲ τούτου ἑκάτερον εἰς δύο, τὸ μὲν συνεχὲς ια τὸ κινητὸν καὶ τὸ ἀκίνητον (τοῦ κινητοῦ πάλιν τὸ μὲν ἀεικίνητον τὸ δὲ οὐκ ἀεικίνητον), δὲ διωρισμένον ποσὸν εἰς τὸ καθ' αὐτὸ καὶ εἰς τὸ πρός τι. καὶ ποσὸν συνεχὲς ἀκίνη- ἐστιν ἡ γῆ, περὶ ἣν καταγίνεται ἡ γεωμετρία. ἔστιν οὖν ἡ γεωμετρία γνῶσις ποσοῦ εχοῦς ἀκινήτου ἐν θέσει. ποσὸν ἀεικίνητόν ἐστιν ὁ οὐρανός, περὶ ὃν καταγίνεται ἡ ρονομία. καὶ ἔστιν ἡ ἀστρονομία γνῶσις ποσοῦ συνεχοῦς ἀεικινήτου. καταγίνεται δὲ ἀστρονομία καὶ ἡ γεωμετρία περὶ ποσὸν συνεχές. συνεχὲς δέ ἐστιν οὗ τὰ μόρια πρὸς κοινὸν ὅρον συνάπτει. ἐλέγομεν δὲ καὶ τοῦ διωρισμένου ποσοῦ τὸ μὲν | εἶναι καθ' ό, τὸ δὲ πρός τι. ποσὸν διωρισμένον καθ' αὐτό ἐστιν ὁ ἀριθμός, ὅταν αὐτὸν καθ' τὸν σκοπῶμεν οἷον τὸν ἀρτιάκις ἄρτιον ἢ τὸν περισσάρτιον ἀριθμὸν καὶ μὴ τὴν πρὸς ρον αὐτοῦ σχέσιν κατὰ συμβεβηκός· τοῦτο γὰρ μουσικῆς. καταγίνεται οὖν περὶ τοῦτο τὸν διωρισμένον. καθ' αὐτό ἐστιν ὁ ἀριθμὸς ἐπ' αὐτῷ σκοπούμενος. ἡ ἀριθμητικὴ ἐστι γνῶσις ποσοῦ καθ' αὐτὸ διωρισμένου. ποσὸν δὲ διωρισμένον πρὸς ἕτερόν ἐστιν σχέσις ἡ πρὸς ἄλληλα τῶν τόνων περὶ οὓς ἡ ἁρμονία καταγίνεται, ἣν δι' ἀριθμοῦ ρίζομεν, περὶ ἣν καταγίνεται ἡ μουσική. καὶ ἔστιν ἡ μουσικὴ γνῶσις ποσοῦ διωρισμέ- σχέσιν ἔχοντος ἑτέρου πρὸς ἕτερον. δέδεικται οὖν ἡ μουσικὴ καὶ ἀριθμητικὴ ὅτι περὶ ποσὸν τὸ διωρισμένον καταγίνονται. διωρισμένον δέ ἐστιν, οὗ τὰ μόρια καθ' αὐτὸ ρεῖται ὡς μὴ συνεφέλκεσθαι ἀλλήλοις. εἰς πόσα μὲν οὖν καὶ τίνα τὸ θεωρητικὸν ιρεῖται καὶ τί ἔχει πέρας, ἐκ τῶν εἰρημένων πρόδηλον.

Ἐπεὶ δὲ καὶ τὸ πρακτικὸν μέρος τῆς φιλοσοφίας εἰρήκαμεν, ἀνάγκη καὶ τοῦτο λεῖν. διαιρεῖται τοίνυν τὸ πρακτικὸν εἴς τε τὸ ἠθικὸν καὶ οἰκονομικὸν καὶ πολιτικόν. ἀρ πράττων τι ἀγαθὸν ἢ εἰς ἑαυτὸν πράττει κοσμῶν αὑτοῦ τὰ ἤθη καὶ λέγεται ἠθικός, ἰς τὸν ἑαυτοῦ οἶκον καὶ λέγεται οἰκονομικός, ἢ τὴν ὅλην κοσμεῖ πόλιν καὶ λέγεται λιτικός. τινὲς δέ φασιν ὅτι ὁ πολιτικὸς καὶ ἠθικός ἐστι καὶ οἰκονομικός· ὁ γὰρ πόλιν ν δυνάμενος κοσμῆσαι πολλῷ μᾶλλον καὶ ἑαυτὸν καὶ τὸν οἶκον αὑτοῦ. καὶ εἰς ταὐτὸν υσι τῷ πρακτικῷ καὶ τὸ πολιτικόν. πρὸς οὓς | ἐροῦμεν ὅτι πολλοὶ κενοδοξίᾳ φερόμενοι μὲν πόλιν κοσμοῦσιν, ἑαυτῶν δὲ καταφρονοῦσιν. ὥστε διῄρηται τὰ εἰρημένα τρία τοῦ κτικοῦ εἴδη ἀπ' ἀλλήλων. τούτων δὲ ἕκαστον διαιροῦσιν εἴς τε τὸ νομοθετικὸν καὶ αστικόν. ὁ γὰρ πολιτικὸς φιλόσοφος ἢ νόμους τίθησι, καθ' οὓς δεῖ ζῆν τοὺς ἐν τῇ λει, ἢ δικάζει καὶ τοὺς μὲν γερῶν ἀξιοῖ τοὺς δὲ παρατρέψαντάς τι τῶν κειμένων νόμων άζει. εἰδέναι δὲ χρή, ὅτι καὶ ἐν τῷ οἰκονομικῷ ταῦτα θεωρεῖται τὸ νομοθετεῖν καὶ άζειν. καὶ γὰρ ἐν τῷ οἴκῳ νόμους τίθεμεν καὶ δικάζομεν τῶν οἰκετῶν ἢ τῶν ἡμῶν | τοὺς ραβαίνοντας. οὐ μόνον δὲ ἐν τῷ οἰκονομικῷ ταῦτα θεωρεῖται, ἀλλὰ καὶ ἐν τῷ ἠθικῷ.

---

1 λέγωμεν V: λέγομεν M τὸ (post περὶ) om. M 2 ἑκάτερον V: ἕκαστον M 3 εἴς τε τὸ M ὸ V καὶ ἀκίνητον V 4 ποσὸν διαιρεῖται εἰς M ποσὸν καὶ συνεχὲς ἀκίνητον ποσόν ἐστιν M αὐτὸν M 12 κατὰ τὸ συμβεβηκός M 15 διὰ ἀριθμοῦ M 16 ἡ (post ἔστιν) om. M ἔχοντος σχέσιν M 18 τὸ ποσὸν τὸ διωρισμένον M: τὸ διωρισμένον ποσὸν V αὐτὰ V: αὐτὸ M πρόδηλον M: δῆλον V 21 καὶ (post ἀνάγκη) om. M 25 ἐστι M: λέγεται V 26 καὶ (post μᾶλ- om. M αὐτοῦ om. M 27 καὶ τὸ M: καὶ V κρατούμενοι V: φερόμενοι in litura M πρακτικοῦ V: ἠθικοῦ M 30. 31 ἢ—ἢ M: καὶ — καὶ V 32 ταῦτα M: om. V 33 δικάζειν M: ζειν V τῶν ἡμῶν] num τῶν ἡμετέρων?

καὶ γὰρ ὁ ἠθικὸς ἑαυτῷ νόμους τίθησιν ὅταν λέγῃ ‘κρατεῖν δ’ εἰθίζεο τῶνδε· γαστρὸς μὲν πρώτιστα καὶ ὕπνου καὶ φιλότητος’ καὶ πάλιν ὅταν Ἰσοκράτης λέγῃ ‘τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους αἰσχύνου’· οὗτοι γαρ ἠθικοὶ νόμοι τε καὶ λόγοι ὑπάρχουσι. καὶ δικάζει τε ἑαυτὸν ὅτε φησί·

μήδ’ ὕπνον μαλακοῖσιν ἐπ’ ὄμμασι προσδέξασθαι
πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν.
πῇ παρέβην; τί δ’ ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
ἀρξάμενος δ’ ἀπὸ πρώτου ἐπέξιθι, αὐτὰρ ἔπειτα
δειλὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο, χρηστὰ δὲ τέρπου.

καὶ περὶ μὲν τοῦ οἰκονομικοῦ καὶ πολιτικοῦ κατὰ τὸν οἰκεῖον καιρὸν εἰρήσεται. νῦν δὲ περὶ τῆς τοῦ ἠθικοῦ διαιρέσεως δεῖ εἰπεῖν, καὶ πρῶτόν γε, τί ἐστιν ἦθος. ἦθος τοίνυν ἐστὶν ἀνθρώπου κόσμος. κόσμος δὲ ἡ ἑκάστου τελειότης | ἡ διὰ τῆς τῶν ἄκρων στερήσεως 14r *ἤγουν παρατηρήσεως κατορθοῦται τῆς τε ὑπεροχῆς καὶ τῆς ἐνδείας· ἀκοσμία γὰρ ὅ τε πλεονασμὸς καὶ ἡ ἔλλειψις. καὶ γοῦν εἴποι τις ἄκοσμον τὸν ἄνθρωπον ἐνδείᾳ τινὸς μορίου οἷον χειρὸς ἢ ἑτέρου, εἴποι δ’ αὖ ἄκοσμον καὶ τὸν περιττεύοντα μορίοις τισὶ τοῦ ἀνενδεοῦς οἷον ἑξαδάκτυλον ἢ ἑξάχειρα ὡς τοὺς κατὰ Ἀπολλώνιον τὸν ποιητὴν γίγαντας· οὐκοῦν ἀκοσμία ἥ τε ὑπεροχὴ καὶ ἡ ἔλλειψις. αἱ δὲ ἀκοσμίαι ἀτελεῖς εἰσι· τὸ γὰρ ἐναντίον ταύταις ὁ κόσμος· τελειότης ἄρα ἐκ τῆς παρατηρήσεώς ἐστι τοῦ τε πλεονασμοῦ καὶ τῆς ἐνδείας, αἵπερ εἰσὶν αἱ ἀτέλειαι. τελειότης γὰρ ἐναντίον ἀτελείᾳ, τὰ δὲ ἐναντία διὰ τῆς τῶν ἐναντίων παρατηρήσεως κατορθοῦται.*

Ἐμάθομεν τοίνυν, τί ἐστι φιλοσοφία καὶ ποῖα αὐτῆς τὰ μέρη. θεία τοίνυν ἐστὶ καὶ ἐφετή, καὶ καλῶς περὶ αὐτῆς ἐρρέθη ὅτι τοιοῦτον ἀγαθὸν οὔτ’ ἦλθεν εἰς ἀνθρώπους οὔθ’ ἥξει ποτέ. τοσαῦτα μὲν κοινῶς περὶ φιλοσοφίας εἰρήσθω.

[Μηδεὶς τῆς προκειμένης διαιρέσεως ἐπιχειρήσῃ λαβέσθαι ὡς οὐ καλῶς αὐτῆς ἐχούσης τοιαῦτα προφέρων ὡς κακῶς τὸ λογικὸν ὑπὸ τὸ σῶμα ἐποίησε τελεῖν· συμβήσεται γὰρ τὸ σῶμα κατηγορεῖσθαι τοῦ λογικοῦ, εἴπερ τὰ ἐπάνω τῶν ὑποκάτω καὶ τὰ γένη τῶν εἰδῶν κατηγορεῖται. πρὸς οὓς ἐροῦμεν ὅτι τὸ λογικὸν οὐδὲν ἕτερον ἢ σῶμα ἐψυχωμένον ὑπὸ λογικῆς ψυχῆς· ὥστε οὐ τὰς θείας δυνάμεις ὑποτάττει τῷ σώματι (αὗται γὰρ οὐ μετέχουσι λόγου, ἀλλὰ αὐτόχρημα λόγοι εἰσίν), ἀλλὰ τὸ τοιόνδε τι σῶμα οἷον τὸ τοῦ ἡλίου καὶ τῆς σελήνης· οὗτοι δὲ καὶ θεοὶ καλοῦνται κοσμικοί. ἐν μέντοι τῷ λέγειν ἡμᾶς τοὺς τόπους ὑπεστήσαμεν ἐκ τῶν ἐκεῖσε ὑπὸ Ἀριστοτέλους εἰρημένων ὅτι πεπλημμέληταί τι ἐν τῇ διαιρέσει ταύτῃ τῇ ἀναγούσῃ τὸ ζῷον ὑπὸ γένος τὸ σῶμα. Ἀριστοτέλης γὰρ ἐκτίθεται τόπον τοιοῦτον ἐνίοτε καὶ τὸ ὅλον εἰς τὸ μέρος τιθεὶς οἷον τὸ ζῷον σῶμα ἔμψυχον ὄν, οὐδαμῶς δὲ τὸ μέρος τοῦ ὅλου κατηγορεῖται· ὥστε οὐδ’ ἂν εἴη τὸ σῶμα γένος τοῦ ζῴου, ἐπειδὴ μέρος ἐστί· τὸ γὰρ ζῷον συνέστηκεν οὐκ ἐκ σώματος μόνον ἀλλὰ καὶ ἐκ ψυχῆς.]

---

1 *νόμους* om. M   *ἐθίζεο* M   2 *καὶ φιλότητος* M: *λαγνείης τε* V   3 *οὗτοι γὰρ* V: *οὕτως γὰρ οἱ* M   4 *ἑαυτὸν* M: *αὐτὸν* V   6 *ἔργων* om. M   7 *πῇ*] *τί* M   *ἔρρεξα* M   *δέον*] *δὲ* M   8 *δὲ ἀπὸ τοῦ πρώτου* M   *διέξιθι* M   *αὐτὰρ ἔπειτα* M: *καὶ μετέπειτα* V   9 *δειλὰ* V: *αἰσχρὰ* M   13 *τῆς* (post *καὶ*) om. M   *γοῦν* M: *γὰρ εἰ* V: num *γὰρ ἂν*?   19 *αἵπερ εἰσὶν αἱ* M: *ἅπερ ἐστὶν* V   *τῇ ἀτελείᾳ* V: *ἀτελείᾳ* M   23 *κοινῶς καὶ περὶ* M   24 *μηδεὶς — καὶ ἐκ ψυχῆς* (35) M: om. V   *ἀπορία καὶ λύσις* in marg. M   30 *τόπους*, 32 *τόπον*] num *λόγους, λόγον*?

ADNOTATIO

§ 1 (p. 6, 1 = 10, 17). In has duas partes philosophia dividebatur a Peripateticis inde a Theophrasti tem- ɪus. Aetius ap. Plutarch. plac. prooem. I 3 (Diels doxogr. 273, 25) *Ἀριστοτέλης δὲ καὶ Θεόφραστος καὶ ὸν πάντες οἱ Περιπατητικοὶ διείλοντο τὴν φιλοσοφίαν οὕτως· ἀναγκαῖον τὸν τέλειον ἄνδρα καὶ θεωρητικὸν τῶν ὄντων καὶ πρακτικὸν τῶν δεόντων.* — Diogen. V 28 (*Ἀριστοτέλης βούλεται*) *διττὸν εἶναι τὸν κατὰ σοφίαν λόγον, τὸν μὲν πρακτικὸν τὸν δὲ θεωρητικόν.* — Alexander Aphrod. in anal. pr. in. — Chalcid. laton. Tim. p. 359 Meurs. — Anatol. v. infra. — Simplic. in phys. I prooem. f. 1 r 7 (p. 1, 6 ss. Diels). — nymi proleg. philos. (anecd. Paris. ed. Cramer IV p. 417, 1 cf. schol. Arist. 8 b 14 Brand.) *διαιρεῖται τοίνυν ἡ ιοσοφία εἰς τὸ θεωρητικὸν καὶ πρακτικόν. ταῦτα δὲ διαφέρουσιν ἀλλήλων καὶ τῷ ὑποκειμένῳ καὶ τῷ τέλει. μὲν γὰρ θεωρητικῷ πάντα τὰ ὄντα ὑπόκειται εἰς γνῶσιν, τῷ δὲ πρακτικῷ οὐ πάντα ὑπόκειται εἰς ικόσμησιν εἰ μὴ μόναι αἱ ἀνθρώπειαι ψυχαί.* cf. Zeller phil. Gr. II 2³, 177¹.

§ 2 (p. 6, 2 = 10, 23). Accuratius Sextus adv. math. VII 16 *οἱ εἰπόντες τῆς φιλοσοφίας τὸ μέν τι εἶναι ικὸν τὸ δὲ ἠθικὸν τὸ δὲ λογικόν· ὧν δυνάμει μὲν Πλάτων ἐστὶν ἀρχηγός . . . ῥητότατα δὲ οἱ περὶ τὸν ɔκράτην καὶ οἱ ἀπὸ τοῦ Περιπάτου.* — Eandem partitionem Platonis esse dixerunt Antiochus Ascalonita m Cicero sequitur ac. I 5, 19 al.), Aristocles Messenius (ap. Euseb. pr. ev. XI 3), Atticus (ibid. XI 2). — inous (isagog. c. 3) discernit *θεωρητικὴν πρακτικὴν διαλεκτικήν.* cf. Zeller ph. Gr. II 1³, 488². — Plato ıbl. VII 9 p. 527 C *ἴσμεν που ὅτι τῷ ὅλῳ καὶ παντὶ διοίσει ἡμμένος τε γεωμετρίας καὶ μή.* — David in g. p. 26 a 5 Brand. *οἱ δὲ λέγοντες ὅτι δεῖ ἀπὸ τῶν μαθηματικῶν ἄρχεσθαι φασὶν ὅτι δεῖ ταῦτα πρῶτον γινώσκειν διὰ τὸ θάρρος τῶν ἀποδείξεων· ταῦτα γὰρ κυρίως μανθάνομεν, τὰ δὲ εἰκάζομεν ἤπερ μανθά- εν· καὶ ὅτι ἐν τούτοις διδασκόμεθα, πῶς δεῖ μανθάνειν, ὅτι γραμμικαῖς ἀνάγκαις, οὐκ ἀξιοπιστίᾳ προσώ- ἀναπαυόμενον· καὶ διὰ Πλάτωνα ἐπιγράψαντα πρὸ τοῦ μουσείου 'ἀγεωμέτρητος μηδεὶς εἰσίτω'.* — Eadem ıa Pythagorae tribuuntur, cf. Zeller ph. Gr. II 1³, 357³ ubi laudantur Philopon. de anima D 6 o, Tzetzes . VIII 972.

§ 3 (p. 6, 7 = 10, 28). Aristoteles metaph. E c. 1 p. 1026 a 18 *ὥστε τρεῖς ἂν εἶεν φιλοσοφίαι θεωρη- ί, μαθηματικὴ φυσικὴ θεολογική.* — Anatolius (in Heron. geom. ed. Hultsch itemque apud Martin, recher- sur la vie et les ouvrages d'Héron d'Alexandrie, Paris. 1854) p. 276, 15 H.; p. 428 M. *Ἀριστοτέλης συνε- ναι τὴν πᾶσαν φιλοσοφίαν ἐκ θεωρίας καὶ πράξεως οἰόμενος καὶ τὴν μὲν πρακτικὴν διαιρῶν εἰς ἠθικὴν πολιτικήν, τὴν δὲ θεωρίαν εἰς θεολογικὸν* (*θεολογίαν* M) *καὶ τὸ φυσικὸν καὶ τὸ μαθηματικὸν μάλα σαφῶς ἐντεχνῶς φιλοσοφίαν οὖσαν τὴν μαθηματικὴν ἀποδείκνυσιν.* — Claud. Ptolemaeus math. compos. praefat. s. Halma. — Aliter Diogen. V 28.

§ 4 (p. 6, 10 = 10, 31). Sextus adv. math. VII 147 *Ξενοκράτης δὲ τρεῖς φησιν οὐσίας εἶναι, τὴν μὲν θητὴν τὴν δὲ νοητὴν τὴν δὲ σύνθετον καὶ δοξαστήν, ὧν αἰσθητὴν μὲν εἶναι τὴν ἐντὸς οὐρανοῦ, νοητὴν δὲ πάντων ἐκτὸς οὐρανοῦ, δοξαστὴν δὲ καὶ σύνθετον τὴν αὐτοῦ τοῦ οὐρανοῦ· ὁρατὴ μὲν γάρ ἐστι τῇ αἰσθήσει, νοητὴ δὲ ἀστρολογίας.* — Procl. in Euclid. prol. I p. 3 Friedlein *ἡ μαθηματικὴ οὐσία μέσην χώραν ἀπείληφε τῶν τε ρίστων καὶ ἁπλῶν καὶ ἀσυνθέτων καὶ ἀδιαιρέτων ὑποστάσεων καὶ τῶν μεριστῶν καὶ ἐν συνθέσεσιν παντοίαις ποικίλαις διαιρέσεσιν ἀφωρισμένων. διόπερ καὶ ὁ Πλάτων διῄρει τὰς γνώσεις τῶν ὄντων καὶ τοῖς μὲν ρίστοις τὴν νοητὴν ἀπεδίδου, τοῖς δὲ μεριστοῖς τὴν δόξαν, τοῖς δὲ μέσοις τὴν διάνοιαν. ὥσπερ οὖν αἱ ἰσεις ἀπ' ἀλλήλων διεστήκασιν, οὕτω δὴ καὶ τὰ γνωστὰ διακέκριται φύσει· τὰ μὲν νοητά, τὰ δὲ αἰσθητά, τὰ μαθηματικά.* — Anonym. proleg. philos. Porphyr. p. 419, 7 Cram., p. 8 b 16 Brand. *διαιρεῖται τοίνυν τοῦτο* (*τὸ ρητικὸν*) *εἰς τρία, εἰς φυσικὸν μαθηματικὸν θεολογικόν· καὶ εἰκότως. ὁ γὰρ φιλόσοφος πάντα τὰ ὄντα ει γινώσκειν. πάντα δὲ τὰ ὄντα τριττά, ἢ πάντῃ ἔνυλα ὡς ὀστέα τρίχες ὄνυχες, περὶ ἃ καταγίνεται τὸ ικόν· ἢ πάντῃ ἄυλα ὡς τὰ θεῖα· ἢ πῇ μὲν ἔνυλα πῇ δὲ ἄυλα ὡς τρίγωνα καὶ τετράγωνα σχήματα ἐν κηρῷ*

ἢ ἀβακίῳ χαραττόμενα, περὶ ἃ καταγίνεται τὸ μαθηματικόν. ταῦτα γὰρ τὴν μὲν ὑπόστασιν ἐν ὕλῃ ἔχουσιν, ἐν ἀβακίῳ φέρε εἰπεῖν ἢ κηρῷ, δύνανται δὲ ἐπινοηθῆναι ὑπὸ τῆς φαντασίας καὶ χωρὶς τῆς ὕλης δίκην κηροῦ ἀναματτομένου τὸ εἶδος τοῦ σφραγιστῆρος καταλιμπάνοντος δὲ τὸν χαλκόν. διὸ καὶ ὁ Πλάτων ἐκμαγεῖον καλεῖ τὴν φαντασίαν διὰ τὸ ἐκμάττεσθαι καὶ ἀποσυλᾶν τὰ εἴδη ἀπὸ τῆς ὕλης.

§ 6 (p. 7, 5 = 11, 27). **Plato** republ. VII 2 p. 515 E sqq. nescio an respiciatur. — **Anonymus** proleg. phil. p. 419, 25 Cram. δεῖ οὖν πρῶτον τὰ πάντη ἔνυλα καὶ φυσικὰ ἀναλέγεσθαι, μετ' ἐκεῖνα τὰ μαθηματικὰ κλίμαξιν ἐοικότα ἢ γεφύραις· οὐδὲ γὰρ ἀθρόον ἀπὸ τῶν πάντη ἐνύλων ἐπὶ τὰ ἄυλα μετιέναι δεῖ. ταὐτὸν γὰρ πεισόμεθα τοῖς ἀπὸ ζοφώδους σπηλαίου τολμήσασιν ἀθρόον ἀντωπῆσαι ταῖς ἡλιακαῖς ἀκτῖσιν. δεῖ γὰρ τοὺς τοιούτους πρότερον ἐν οἰκίσκῳ ἔχοντι σύμμετρον φῶς προεθισθέντας οὕτως ἀντωπῆσαι ταῖς ἡλιακαῖς ἀκτῖσιν. ὡσαύτως οὖν χρὴ καὶ ἀπὸ τῶν πάντη ἐνύλων ἀναλογούντων σπηλαίῳ εἰς τὰ μαθήματα ἐγγυμνασθῆναι ἀναλογοῦντα οἰκίσκῳ σύμμετρον ἔχοντι φῶς· καὶ εἶθ' οὕτως χωρεῖν ἐπὶ τὰ ἄυλα ἀναλογοῦντα ταῖς τοῦ ἡλίου ἀκτῖσιν.

§ 7 (p. 7, 10 = 11, 32). **Hom.** λ 315 s.

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.

cf. **Plato** conviv. 190 B. **Aristot.** de mundo 1 p. 391ᵃ 10.

§ 8 (p. 7, 16 = 12, 4). **Plato** Epinom. c. 13 p. 992 A οὐ γὰρ ἄνευ γε τούτων μήποτέ τις ἐν πόλεσιν εὐδαίμων γένηται φύσις, ἀλλ' οὗτος ὁ τρόπος, αὕτη ἡ τροφή, ταῦτα τὰ μαθήματα εἴτε χαλεπὰ εἴτε ῥᾴδια, ταύτῃ πορευτέον· ἀμελῆσαι δὲ οὐ θεμιτόν ἐστι θεῶν. — **Nicomachus** introd. arithm. I 3, 5 p. 7, 16 Hoche οὐ γὰρ ἄνευ τούτων ἡ ὁδός ποτε, ἀλλ' οὗτος ὁ τρόπος, ταῦτα τὰ μαθήματα εἴτε χαλεπὰ εἴτε ῥᾴδια, ταύτῃ ἰτέον, ἀμελεῖν δὲ οὐ δεῖ. — **Iamblich.** in Nicomach. introd. p. 9 Tennul. τὸν δὲ σύμπαντα ταῦτα (sc. τὰ μαθήματα) οὕτως εἰληφότα, ὡς αὐτὸς (ὁ Πλάτων) ὑποτίθεται, τοῦτον δὴ καλεῖ ἀληθέστατα σοφώτατον καὶ διισχυρίζεται παίζων· μεταδιωκτά τε καὶ ἐκ παντὸς αἱρετὰ ταῦτα τὰ μαθήματα, εἴτε χαλεπὰ εἴτε ῥᾴδια εἴη, παρεγγυᾷ τοῖς φιλοσοφεῖν προθυμουμένοις. — **Iamblich.** de math. comm. disciplina (Villoison anecd. Gr. II) p. 193 adfert totum locum verbis aliquid mutatis. — In eandem fere sententiam disputatur apud **Plutarchum** quaest. conviv. VIII 2 p. 875, 25 sqq. Dübn. (πῶς Πλάτων ἔλεγε τὸν θεὸν ἀεὶ γεωμετρεῖν).

§ 8 (p. 7, 19 = 12, 7). **Plotin.** ennead. I 3, 3 p. 157, 20 Kirchh. p. 21, 27 Müll. τὰ μὲν δὴ μαθήματα δοτέον πρὸς συνεθισμὸν κατανοήσεως καὶ πίστεως ἀσωμάτου. cf. Creuzeri adnotat. (t. III p. 15 ed. Oxon.) — **Procl.** in Euclid. prol. I p. 21, 20 Friedlein δοτέον δὲ αὐτῷ τὰ μαθήματα, φησὶν ὁ Πλωτῖνος, πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως καὶ τούτοις ὥσπερ σχήμασι χρώμενον ἀκτέον ἐπὶ τοὺς ἐν τῇ διαλεκτικῇ λόγους καὶ ὅλως ὡς τὴν τῶν ὄντων θεωρίαν. cf. idem de provident. et fato c. 12, in Cratyl. p. 1 Boisson., in Alcib. p. 194 Creuz., in Parmen. I p. 49 Cousin. — **Ammon.** in categ. f. 9ʳ (schol. Arist. p. 26ᵇ n. 1 Brand.) διό φησιν ὁ Πλωτῖνος 'παραδοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως'. — Schol. in Platonis rempubl. p. 498 B (VI, 348 Herm.) καὶ ὁ Πλωτῖνος τοιοῦτο λέγει τὸ 'παραδοτέον — φύσεως'.

§ 9 (p. 7, 21 = 12, 9). **Nicomach.** introd. I 3, 6 p. 71 Ast., p. 7, 21 Hoch. δῆλον γὰρ ὅτι κλίμαξί τισι καὶ γεφύραις ἔοικε ταῦτα τὰ μαθήματα διαβιβάζοντα τὴν διάνοιαν ἡμῶν ἀπὸ τῶν αἰσθητῶν καὶ δοξαστῶν ἐπὶ τὰ νοητὰ καὶ ἐπιστημονικὰ καὶ ἀπὸ τῶν συντρόφων ἡμῖν καὶ ἐκ βρεφῶν ὄντων συνήθων ὑλικῶν καὶ σωματικῶν ἐπὶ τὰ ἀσυνήθη τε καὶ ἑτερόφυλα πρὸς τὰς αἰσθήσεις τῇ δὲ ἀυλίᾳ καὶ ἀιδιότητι συγγενέστερα ταῖς ἡμετέραις ψυχαῖς καὶ πολὺ πρότερον τῷ ἐν αὐταῖς νοητικῷ. — **Iamblich.** de math. comm. discipl. p. 189 Vill. δύναμίν τε ἔχοντα (τὰ μαθήματα) διαπορθμεύειν καὶ διαβιβάζειν ἐπὶ τὰ ἀμέριστα εἴδη ἅτε συγγενῆ πρὸς αὐτὰ ὑπάρχοντα καὶ τῶν μὲν σωμάτων ἀπάγοντα τοὺς συνήθεις πρὸς αὐτὰ γινομένους περιάγοντα δὲ ἐπὶ τὰς θείας οὐσίας ὥσπερ διά τινος κλίμακος ἀναγούσης ἐπὶ τὸ ὕψος. — Praeivit etiam in his, ut ait Astius (animadvers. ad Nicom. p. 212), **Plato** conviv. p. 211 B τοῦτο γὰρ δή ἐστι τὸ ὀρθῶς ἐπὶ τὰ ἐρωτικὰ ἰέναι ἢ ὑπ' ἄλλου ἄγεσθαι ἀρχόμενον ἀπὸ τῶνδε τῶν καλῶν ἐκείνου ἕνεκα τοῦ καλοῦ ἀεὶ ἐπανιέναι ὥσπερ ἐπαναβαθμοῖς χρώμενον ἀπὸ ἑνὸς ἐπὶ δύο καὶ ἀπὸ δυεῖν ἐπὶ πάντα τὰ καλὰ σώματα. — **Simplic.** in Arist. de anima fol. 77ʳ 50 (p. 276, 33 Hayduck) διὸ φιλοσοφία τις καὶ ἡ φυσικὴ πραγματεία ὡς περὶ οὐσίαν στρεφομένη καὶ ὡς ἐξ αἰτίων τὰ αἰτιατὰ γινώσκουσα· οὐχὶ δὲ ἡ μαθηματική, ἀλλ', ὥς φησι Πλάτων, γεφύρᾳ ἔοικεν· ἀρχὴ γὰρ αὐτῇ, ὡς ὁ αὐτὸς ἀποφαίνεται φιλόσοφος, ἃ μὴ οἶδε, μέσα δὲ καὶ τελευτὴ ἐξ ὧν μὴ οἶδε. **Ioh. Philoponus** in Arist. de anim. f. 1 A p. 2. — Theologumena arithmetic. c. 4. p. 17 Ast. τέσσαρες μὲν καὶ σοφίας ἐπιβάθραι· ἀριθμητικὴ μουσικὴ γεωμετρία σφαιρικὴ α' β' γ' δ' τεταγμέναι. — **David** in categor. p. 26ᵇ 1 Brand. αὐτοῖς δὲ τοῖς τελείοις ἔοικεν ἡ μαθηματικὴ ὥσπερ κλῖμαξ τις καὶ γέφυρα διαβιβάζουσα ἡμᾶς ἀπὸ τῶν πάντη ἐνύλων ἐπὶ τὰ πάντη ἄυλα.

§ 10 (p. 7, 24 = 12, 4). **Hero** geometr. p. 428 Martin. ἀπὸ τίνος δὲ μαθηματικὴ ὠνομάσθη; οἱ μὲν ἀπὸ τοῦ Περιπάτου φάσκοντες ῥητορικῆς μὲν καὶ ποιητικῆς συμπάσης τε τῆς δημώδους μουσικῆς δύνασθαί τινα συνιέναι καὶ μὴ μαθόντα, τῶν δὲ καλουμένων ἰδίως μαθημάτων οὐδενὸς εἴδησιν λαμβάνειν μὴ οὐχὶ πρότερον ἐν μαθήσει γενόμενον τούτων, διὰ τοῦτο μαθηματικὴν καλεῖσθαι τὴν περὶ τούτων θεωρίαν ὑπελάμβανον.

αι δὲ λέγονται τὸ τῆς μαθηματικῆς ὄνομα ἰδιαίτερον ἐπὶ μόνης γεωμετρίας καὶ ἀριθμητικῆς οἱ ἀπὸ τοῦ ιγόρου· τὸ γὰρ πάλαι χωρὶς ἑκάτερα τούτων ὠνομάζετο, κοινὸν δὲ οὐδὲν ἦν ἀμφοῖν ὄνομα. ἐκάλεσαν δὲ ς οὕτως, ὅτι τὸ ἐπιστημονικὸν καὶ πρὸς μάθησιν ἐπιτηδείως ἔχον εὕρισκον ἐν αὐταῖς· περὶ γὰρ ἀίδια καὶ ττα καὶ εἰλικρινῆ ὄντα ἀναστρεφομένας ἑώρων, ἐν οἷς μόνοις ἐπιστήμην ἐνόμιζον. οἱ δὲ νεώτεροι περισαν ἐπιπλέον τὴν προσηγορίαν, οὐ μόνον περὶ τὴν ἀσωμάτων καὶ νοητὴν ὕλην ἀξιοῦντες πραγματεύεσθαι ιαθηματικόν, ἀλλὰ καὶ περὶ τὰ ἐφαπτόμενα τῆς σωματικῆς καὶ αἰσθητῆς οὐσίας. — Procl. in Euclid. , 25 Friedl. τὸ δ' αὖ ὄνομα αὐτὸ τοῦτο τὸ τῆς μαθηματικῆς καὶ τὸ τῶν μαθημάτων πόθεν ἂν φαῖμεν τῶν παλαιῶν ταῖς ἐπιστήμαις ταύταις ἀποδεδόσθαι καὶ τίνα ἂν ἔχοι προσήκοντα λόγον; δοκεῖ δή μοι μὴ ἐπιτυχόντων εἶναι καθάπερ δὴ τὰ πολλὰ τῶν ὀνομάτων ἡ τοιαύτη τῆς ἐπιστήμης τῶν διανοητικῶν λογων ηγορία, ἀλλ', ὥσπερ δὴ καὶ λέγεται, τῶν Πυθαγορείων κατειδότων μὲν ὅτι πᾶσα ἡ καλουμένη μάθησις ἀνάις ἐστιν οὐκ ἔξωθεν ἐντιθεμένη ταῖς ψυχαῖς — — ἀλλ' ἀνεγειρομένη μὲν ἀπὸ τῶν φαινομένων προβαλλοδὲ ἔνδοθεν ἀπ' αὐτῆς τῆς διανοίας. — Anonym. prolegom. philos. Porphyr. p. 420, 3 Cram., p. 8ᵇ 18 Brand. οῦσι δέ τινες ὅτι, εἰ πάντα μανθάνομεν καὶ τὰ ἄυλα καὶ τὰ ἔνυλα καὶ τὰ μέσα, διὰ τί μὴ πάντα καλεῖται ιματα, ἀλλὰ μόνα τὰ μέσα ἐσφετερίσατο τὸ κοινὸν ὄνομα; καὶ λέγουσι τούτου αἰτίας δύο· μίαν μὲν ὅτι ι τὰ μαθήματα τὸ ἀραρὸς τῶν ἀποδείξεων· ταῦτα γὰρ μανθάνομεν ἀκριβῶς, τὰ δὲ ἄλλα εἰκάζομεν μᾶλλον νθάνομεν, διὸ καὶ ὁ φιλόσοφος Μαρῖνος ἔφη 'εἴθε πάντα μαθήματα ἦν'· δευτέραν δὲ ὅτι ταῦτα ἡδέως άνομεν πάσχοντες τὸ τῶν Λωτοφάγων· γευσάμενοι γὰρ αὐτῶν οὐ θέλομεν αὐτῶν ἀποστῆναι, ἀλλ' ἐχόαὐτῶν ὡς λώτου.

§ 15 (p. 8, 1 = 12, 37). Plato mathematicam in quinque partes divisit republ. VII p. 8—12, p. 526—531. heo Smyrnaeus p. 15, 11 Hiller ὁ δὲ Πλάτων ἀπὸ πέντε μαθημάτων δεῖν φησι ποιεῖσθαι τὴν κάθαρσιν· ι δ' ἐστὶν ἀριθμητικὴ γεωμετρία στερεομετρία μουσικὴ ἀστρονομία. — Idem p. 17, 14 Hiller πρὸς δὲ τὴν ιὴν τάξιν πρώτη μὲν ἂν εἴη ἡ περὶ ἀριθμοὺς θεωρία καλουμένη ἀριθμητική· δευτέρα δὲ ἡ περὶ τὰ ἐπίπεδα ιμένη γεωμετρία· τρίτη δὲ ἡ περὶ τὰ στερεά, ἥτις ἐστὶ στερεομετρία· τετάρτη⟨δὲ⟩ ἡ περὶ τὰ κινούμενα στερεά, ἐστὶν ἀστρονομία. ἡ δὲ τῆς τῶν κινήσεων καὶ διαστημάτων ποιὰ σχέσις ἐστὶ μουσική, ἥτις οὐχ οἷα τέ ἐστι ῆναι μὴ πρότερον ἡμῶν αὐτὴν ἐν ἀριθμοῖς κατανοησάντων· διὸ πρὸς τὴν ἡμετέραν θεωρίαν μετ' ἀριθιὴν τετάχθω ἡ ἐν ἀριθμοῖς μουσική, ὡς δὲ πρὸς τὴν φύσιν πέμπτη ⟨ἡ⟩ τῆς τοῦ κόσμου ἁρμονίας θεωρημουσική. κατὰ δὴ τοὺς Πυθαγορικοὺς πρεσβευτέα | τὰ τῶν ἀριθμῶν ὡς ἀρχὴ καὶ πηγὴ καὶ ῥίζα τῶν ων. — Easdem quinque partes enumerat Platonem secutus Nicomachus introd. arithm. c. 3 p. 8, 11 ss. Hoche. cto contra partes esse voluerunt Hero Alexandrinus et Geminus; cf. Hero p. 432 Mart., p. 278 Hultsch πόσα μαθηματικῆς; τῆς μὲν τιμιωτέρας καὶ πρώτης ὁλοσχερέστερα μέρη δύο, ἀριθμητικὴ καὶ γεωμετρία. τῆς δὲ τὰ αἰσθητὰ ἀσχολουμένης ἕξ· ἡ λογιστικὴ γεωδαισία ὀπτικὴ κανονικὴ μηχανικὴ ἀστρονομική. ὅτι δὲ τὸ κὸν καλούμενον οὐδὲ τὸ ἀρχιτεκτονικὸν οὔτε τὸ δημῶδες μουσικὸν ἢ τὸ περὶ τὰς φάσεις ἀλλ' οὐδὲ τὸ ύμως καλούμενον μηχανικόν, ὡς οἴονταί τινες, μέρη μαθηματικῆς ἔστι προϊόντος τοῦ λόγου σαφῶς δὲ καὶ θόδως δείξομεν. — Procl. in Euclid. prolog. I p. 32, 2 κατ' ἄλλον δ' αὖ τρόπον τὴν μαθηματικὴν τέμνειν ἀξιοῦσιν, ὥσπερ καὶ Γεμῖνος, καὶ ποιοῦσι τὴν μὲν περὶ τὰ νοητὰ μόνον, τὴν δὲ περὶ τὰ αἰσθητὰ καὶ ων ἐφαπτομένην, νοητὰ δήπου καλοῦντες ὅσα καθ' ἑαυτὴν ἡ ψυχὴ θεάματα ἀνακινεῖ χωρίζουσα τῶν ἐνυἑαυτὴν εἰδῶν. καὶ τῆς μὲν περὶ τὰ νοητὰ πραγματευομένης δύο τὰ πρώτιστα καὶ κυριώτατα μέρη τίθενται ιητικὴν καὶ γεωμετρίαν, τῆς δὲ περὶ τὰ αἰσθητὰ τὴν ἐνέργειαν ἐχούσης ἕξ, μηχανικὴν ἀστρολογίαν ὀπτιγεωδεσίαν κανονικὴν λογιστικήν. τὸ δ' αὖ τακτικὸν οὐκ ἀξιοῦσιν ἕν τι τῶν μερῶν τῆς μαθηματικῆς λέγειν ρ ἕτεροι. — Pythagoreorum partitionem habes apud Nicomachum introd. arithm. c. 2 ss. p. 4, 13 ss. Hoche τοίνυν ὄντων τῶν τε κυρίως καὶ τῶν καθ' ὁμωνυμίαν, ὅπερ ἐστὶ νοητῶν τε καὶ αἰσθητῶν, τὰ μέν ἐστιν ένα καὶ ἀλληλουχούμενα οἷον ζῷον κόσμος δένδρον καὶ τὰ ὅμοια, ἅπερ κυρίως καὶ ἰδίως καλεῖται μεγέθη, διηρημένα τε καὶ ἐν παραθέσει καὶ οἷον κατὰ σωρείαν, ἃ καλεῖται πλήθη, οἷον ποίμνη δῆμος σωρὸς καὶ τὰ παραπλήσια. — — φαίνεται δή, ὅτι οὔτε περὶ ἁπλῶς μέγεθος οὔτε περὶ ἁπλῶς πλῆθος συσταίη οτε ἐπιστήμη — —, ἀλλὰ περί τι ἀπ' ἀμφοῖν ἀφωρισμένον ἀπὸ μὲν πλήθους περὶ τὸ ποσόν, ἀπὸ δὲ θους περὶ τὸ πηλίκον. c. 3. πάλιν δὲ ἐξ ἀρχῆς, ἐπεὶ τοῦ ποσοῦ τὸ μὲν ὁρᾶται καθ' ἑαυτὸ μηδεμίαν πρὸς σχέσιν ἔχον οἷον ἄρτιον περιττὸν τέλειον τὰ ἐοικότα, τὸ δὲ πρὸς ἄλλο πως ἤδη ἔχον καὶ σὺν τῇ ἕτερον σχέσει ἐπινοούμενον οἷον διπλάσιον μεῖζον ἔλαττον ἥμισυ ἡμιόλιον ἐπίτριτον τὰ ἐοικότα, δῆλον ἄρα δύο μέθοδοι ἐπιλήψονται ἐπιστημονικαὶ καὶ διευκρινήσουσι πᾶν τὸ περὶ τοῦ ποσοῦ σκέμμα, ιητικὴ μὲν τὸ περὶ τοῦ καθ' ἑαυτό, μουσικὴ δὲ τὸ περὶ τοῦ πρὸς ἄλλο. πάλιν δὲ ἐπεὶ τοῦ πηλίκου έν ἐστιν ἐν μονῇ καὶ στάσει, τὸ δὲ ἐν κινήσει καὶ περιφορᾷ, δύο ἕτεραι κατὰ τὰ αὐτὰ ἐπιστῆμαι θώσουσι τὸ πηλίκον, τὸ μὲν μένον καὶ ἠρεμοῦν γεωμετρία, τὸ δὲ φερόμενον καὶ περιπολοῦν σφαιρική. — Nicomacho totus pendet Boethius instit. arithm. I, 1 p. 8 Friedl. — Suo more fusius haec explicat Iamblichus icomachi arithm. p. 6 ss. Tennul. — Paucis eadem expediuntur in Theologum. arithm. p. 17 Ast.: τῶν ὄντων

ἁπλῶς ἁπάντων ἐν μὲν παραθέσει καὶ σωρείᾳ τῷ ποσῷ ὑπαγαγομένων, ἐν δὲ ἑνώσει καὶ ἀλληλουχίᾳ τῷ πηλίκῳ καὶ τῶν ἐν ποσότητι ἤτοι καθ' ἑαυτὰ νοουμένων ἢ πρός τι, τῶν δὲ ἐν πηλικότητι ἢ ἐν μονῇ ἢ ἐν κινήσει, τέτταρες ἀνάλογον μαθηματικαὶ μέθοδοι καὶ ἐπιστῆμαι τὴν κατάληψιν ἑκάστην ἑκάστῃ κατ' οἰκειότητα ποιήσονται· ποσοῦ μὲν κειμένη ἡ ἀριθμητικὴ ἰδιαίτερον δὲ περὶ τοῦ καθ' αὑτό, τοῦ δὲ πρὸς ἕτερον ἤδη καὶ μουσική, πηλίκου δὲ κοινῶς μὲν γεωμετρία ἰδιαίτερον δὲ τοῦ ἑστῶτος, τοῦ δὲ ἐν κινήσει ἤδη καὶ εὐτάκτῳ μεταβάσει σφαιρική. — Procl. in Euclid. prol. I p. 35, 22 Friedl. τοῖς μὲν οὖν Πυθαγορείοις ἐδόκει τετραχῇ διαιρεῖν τὴν ὅλην μαθηματικὴν ἐπιστήμην, τὸ μὲν αὐτῆς περὶ τὸ ποσόν, τὸ δὲ περὶ τὸ πηλίκον ἀφορίζουσι καὶ τούτων ἑκάτερον διττὸν τιθεμένοις· τό τε γὰρ ποσὸν ἢ καθ' αὑτὸ τὴν ὑπόστασιν ἔχειν ἢ πρὸς ἄλλο θεωρεῖσθαι κατὰ σχέσιν, καὶ τὸ πηλίκον ἢ ἑστὼς ἢ κινούμενον εἶναι· καὶ τὴν μὲν ἀριθμητικὴν τὸ καθ' αὑτὸ τὸ ποσὸν θεωρεῖν, τὴν δὲ μουσικὴν δὲ πρὸς ἄλλο, γεωμετρίαν δὲ τὸ πηλίκον ἀκίνητον ὑπάρχον, καὶ τὴν σφαιρικὴν τὸ καθ' αὑτὸ κινούμενον· ἐπισκοπεῖν δ' αὖ τὸ πηλίκον καὶ ποσὸν οὔτε μέγεθος ἁπλῶς οὔτε πλῆθος ἀλλὰ τὸ καθ' ἑκάτερον ὡρισμένον· τοῦτο γὰρ ἀφελούσας τῶν ἀπείρων τὰς ἐπιστήμας κατανοεῖν, ὡς οὐκ ἐνὸν τὴν καθ' ἑκάτερον ἀπειρίαν γνώσει περιλαβεῖν.

§ 22 (p. 9, 1 = 14, 7). Theo Smyrn. p. 17, 14 Hiller πρὸς τὴν φυσικὴν τάξιν πρώτη μὲν ἂν εἴη ἡ περὶ ἀριθμοὺς θεωρία καλουμένη ἀριθμητική· δευτέρα δὲ ἡ περὶ τὰ ἐπίπεδα καλουμένη γεωμετρία· τρίτη δὲ ἡ περὶ τὰ στερεά, ἥτις ἐστὶ στερεομετρία· τετάρτη δὲ ἡ περὶ τὰ κινούμενα στερεά, ἥτις ἐστὶν ἀστρονομία... κατὰ δὴ τοὺς Πυθαγορικοὺς πρεσβευτέα τὰ τῶν ἀριθμῶν ὡς ἀρχὴ καὶ ῥίζα τῶν πάντων. — Arithmeticam ex quattuor disciplinis mathematicis primam discendam esse consentiunt omnes. copiosius rem tractavit Nicomachus inst. I 4, 1 ss. Hoche, ex quo loco adferimus haec: τίνα οὖν ἀναγκαῖον πρωτίστην τῶν τεσσάρων τούτων μεθόδων ἐκμανθάνειν; ἢ δῆλον ὅτι τὴν φύσει πασῶν προυπάρχουσαν καὶ κυριωτέραν ἀρχῆς τε καὶ ῥίζης καὶ οἱονεὶ πρὸς τὰς ἄλλας μητρὸς λόγον ἐπέχουσαν. ἔστι δὲ αὕτη ἡ ἀριθμητικὴ οὐ μόνον, ὅτι ἔφαμεν αὐτὴν ἐν τῇ τοῦ τεχνίτου θεοῦ διανοίᾳ προυποστῆναι τῶν ἄλλων ὡσανεὶ λόγον τινὰ κοσμικὸν καὶ παραδειγματικόν, πρὸς ὃν ἀπερειδόμενος ὁ τῶν ὅλων δημιουργὸς ὡς πρὸς προκέντημά τι καὶ ἀρχέτυπον παράδειγμα τὰ ἐκ τῆς ὕλης ἀποτελέσματα κοσμεῖ καὶ τοῦ οἰκείου τέλους τυγχάνειν ποιεῖ, ἀλλὰ καὶ ὅτι φύσει προγενεστέρα ὑπάρχει, ὅσῳ συναναιρεῖ μὲν ἑαυτῇ τὰ λοιπά, οὐ συναναιρεῖται δὲ ἐκείνοις. — Iamblichus in Nicom. p. 1 Tennul. ἀπὸ τῆς ἀριθμητικῆς ἀρχόμεθα. αὕτη γὰρ φύσει πρεσβυτέραν ἔχει τὴν θεωρίαν τῷ περὶ ἁπλούστερα πραγματεύεσθαι καὶ ἀρχηγικώτερα. διόπερ καὶ ὁ περὶ αὐτῆς λόγος προηγεῖται τῶν ἄλλων μαθημάτων. — Boethius institut. arithm. I 1 p. 10, 8 Friedl. quae igitur ex hisce prima discenda est nisi ea quae principium matrisque quodammodo ad ceteras obtinet portionem? haec est autem arithmetica. — Chalcid. in Platon. Tim. p. 133 Meurs. (numeros constat) antiquiores esse etiam ipsis geometricae formis. geometricae formae in aliquo numero inveniantur necesse est, ut trium et quattuor et item plurium laterum figurae rursumque vocantur ἑξάεδρα et ὀκτώεδρα initia; hae quippe sine numeris esse non poterant, numeros vero sine his formis esse nihil impedit. — Anonym. proleg. p. 422, 3 Cram. πρότεραι τοίνυν αἱ περὶ ἀριθμῶν τῶν περὶ μέγεθος καταγινομένων εἰσίν. αὐλότερος γὰρ ὁ ἀριθμὸς τοῦ μεγέθους ὡς δυνάμενος διάφορα εἴδη σχημάτων δέξασθαι ἀσυγχύτως· ὁ γὰρ αὐτὸς ἀριθμὸς δύναται κύκλος ἅμα καὶ τετράγωνος γενέσθαι. κύκλος δέ ἐστιν ὁ νόμῳ κύκλου ἀπὸ τοῦ αὐτοῦ ἀρχόμενος καὶ εἰς τὸ αὐτὸ λήγων οἷον ὁ τετράκις ἓξ εἴκοσι τέσσαρα, τετράγωνος δὲ ὁ ἑαυτὸν πολυπλασιάζων οἷον ὁ τετράκις τέσσαρα δεκαέξ· ἓξ ἀριθμοῖ γὰρ ἑαυτὸν πολυπλασιάσαντος ἐγένετο. κύκλος δὲ ἅμα καὶ τετράγωνος κτλ. — — — ἐπὶ δὲ τῶν μεγέθων τοῦτο οὐκ ἔστι· τὸ γὰρ φθάσαν μέγεθος σχηματισθῆναι οὐκ ἐπιδέχεται ἕτερον σχῆμα ἀσυγχύτως ὡς ἐνυλότερον.

§ 25 (p. 9, 17 = 14, 24). Proclus in Euclid. prol. I p. 36, 23 Friedl. ἡ ἀριθμητικὴ πρεσβυτέρα τῆς μουσικῆς, ἐπεὶ καὶ ἡ ψυχὴ διαιρεῖται πρῶτον δημιουργικῶς, εἶθ' οὕτως συνδέδεται τοῖς λόγοις ὡς ὁ Πλάτων ὑφηγεῖται. καὶ αὖ πάλιν κατὰ μὲν τὴν στάσιν τὴν ἐν αὐτῇ τὴν ἐνέργειαν ἱδρύσασα γεωμετρίαν ἀφ' ἑαυτῆς ἐξέφηνεν καὶ τὸ ἓν σχῆμα τὸ οὐσιῶδες καὶ τὰς δημιουργικὰς ἀρχὰς τῶν σχημάτων πάντων, κατὰ δὲ τὴν κίνησιν τὴν σφαιρικήν. κινεῖται γὰρ καὶ αὐτὴ κατὰ τοὺς κύκλους, ἕστηκεν δὲ ἀεὶ ὡσαύτως κατὰ τὰς αἰτίας τῶν κύκλων, τὸ εὐθὺ καὶ περιφερές. καὶ διὰ τοῦτο κἀνταῦθα προϋφέστηκεν ἡ γεωμετρία τῆς σφαιρικῆς ὥσπερ ἡ στάσις τῆς κινήσεως. — Anonym. proleg. p. 422, 22 Cram. προτέρα δὲ ἡ ἀριθμητικὴ τῆς μουσικῆς, ἐπειδὴ ἡ μὲν ἀριθμητικὴ περὶ τὸν καθ' αὑτὸ ἀριθμὸν καταγίνεται, ἡ δὲ μουσικὴ περὶ τὸν ἐν σχέσει· προηγεῖται δὲ τὰ καθ' αὑτὸ τῶν ἐν σχέσει, εἴγε πρῶτον γίνεταί τις ἄνθρωπος, εἶθ' οὕτως πατήρ. ἐν δὲ ταῖς περὶ μέγεθος καταγινομέναις προτέρα ἡ γεωμετρία τῆς ἀστρονομίας, ὅτι ἡ μὲν γεωμετρία περὶ ἀκίνητον καὶ μένον ποσὸν καταγίνεται, ἡ δὲ ἀστρονομία περὶ κινούμενον. οὐ δεῖται δὲ ἡ μονὴ τῆς κινήσεως, ἀλλ' ἡ κίνησις τῆς μονῆς, διότι οὐ δυνατὸν κινεῖσθαί τι ἄνευ μονῆς.

§ 27 (p. 9, 25 = 14, 32). Theologum. arithmetic. c. 4. p. 17 Ast κατὰ μὲν οὖν τὴν μονάδα καὶ ἀριθμητικὴ εἰκότως θεωρεῖται πρῶτον· συναιρεῖ γὰρ τὰς ἄλλας ἑαυτῇ καὶ συνεπιφέρεται δὲ ἐκείναις, οὐκ ἔμπαλιν δέ, ὥστε ἀρχεγονωτέρα καὶ μήτηρ αὐτῶν καθὰ καὶ ἡ μονὰς πρὸς τοὺς μετ' αὐτὴν ἀριθμοὺς ἔχουσα φαίνεται. ἀλλὰ καὶ ἀριθμοῦ πᾶν εἶδος καὶ πᾶν ἰδίωμα καὶ παρακολούθημα ἐν τῇ μονάδι πρώτιστα ὡς ἐν σπέρματι ὁρᾶται· ἔστι

ποσόν τι ἡ μονὰς καὶ καθ' ἑαυτὸ δὲ θεωρούμενον καὶ μονώτατον περαῖνον καὶ ἀληθῶς ὁρίζον· σὺν γὰρ ν μόνον οὐκ ἄν ποτε εἴη τι, κατὰ δὲ τὴν δυάδα. ἑτερότητος γὰρ πρωτίστη ἔννοια ἐν δυάδι· πρὸς ἕτερον ως ἡ μουσικὴ φαίνεται σχέσις πως οὖσα καὶ ἁρμονία τῶν ἀνομοίων πάντη καὶ ἐν ἑτερότητι· κατὰ δὲ τὴν δα γεωμετρική, οὐ μόνον ὅτι περὶ τὸ τριχῇ διαστατὸν καὶ τὰ τούτου κατασχολεῖται μέρη καὶ εἴδη, ἀλλ' ια ἰδίαν τοῦ διδασκάλου τούτου τας ἐπιφανείας, ἃς δὴ χροιὰς ἔφασκον, γεωμετρίαν περαίνουσαν ὀνομάζειν ὡς δὴ τῆς γεωμετρίας περὶ τὸ ἐπίπεδον πρώτιστα διαγινομένης κτλ. — — καὶ ἡ σφαιρικὴ τῇ τετράδι μόζεται· σωμάτων γὰρ πάντων τελειότατόν τε καὶ τῶν ἄλλων μάλιστα περιεκτικώτατον φύσει καὶ μυρίοις ιφέρον τί ἐστιν ἡ σφαῖρα τεσσάρων περιοχή τις οὖσα, κέντρου διαμέτρου περιφερείας ἐμβαδοῦ, ὅ ἐστιν ιοτητος. — Theologum. arithmetic. c. 3 p. 15 ed. Ast *τῇ γεωμετρίᾳ προσφυέστατόν ἐστιν ἡ τριάς· τὸ γὰρ πιπέδοις στοιχειωδέστατόν ἐστιν τρίγωνον καὶ τούτου εἴδη τρία ὀξυγώνιον ἀμβλυγώνιον σκαληνόν.*

§ 29 (p. 10, 3 — 15, 16). **Proclus** in Euclid. prol. II p. 65, 3 Friedl. *ὥσπερ οὖν παρὰ τοῖς Φοίνιξιν διὰ τὰς πορίας καὶ τὰ συναλλάγματα τὴν ἀρχὴν ἔλαβεν ἡ τῶν ἀριθμῶν ἀκριβὴς γνῶσις, οὕτω δὴ καὶ παρ' Αἰγυπτίοις ἡ μετρία διὰ τὴν εἰρημένην αἰτίαν εὕρηται.* — **Anatolius** ap. Heron. p. 428 Mart., p. 276 Hultsch (Fabric. bibl. II 462 Harl.) *Χαλδαῖοι μὲν ἀστρονομίαν, Αἰγύπτιοι δὲ γεωμετρίαν καὶ ἀριθμητικὴν* (ἐξεῦρον). — **Hero** geometr. 36 Mart., p. 43, 11 Hultsch *Ἥρωνος ἀρχὴ τῶν γεωμετρουμένων. Καθὼς ἡμᾶς ὁ παλαιὸς διδάσκει λόγος οἱ στοι τοῖς περὶ τὴν γῆν μέτροις καὶ διανομαῖς ἀπησχολοῦντο· ὅθεν καὶ γεωμετρία ἐκλήθη. ἡ δὲ τῆς μετρή- ἐπίνοια ηὕρηται παρ' Αἰγυπτίοις. διὰ γὰρ τὴν τοῦ Νείλου ἀνάβασιν πολλὰ χωρία φανερὰ ὄντα τῇ ἀνα- ι ἀφανῆ ἐγίγνετο, πολλὰ δὲ καὶ μετὰ τὴν ἀπόβασιν, καὶ οὐκέτι ἦν δυνατὸν ἕκαστον διακρίνειν τὰ ἴδια. τοῦτο ἐπενόησαν οἱ Αἰγύπτιοι τήνδε τὴν μέτρησιν ποτὲ μὲν τῷ καλουμένῳ σχοινίῳ ποτὲ δὲ καλάμῳ ποτὲ αι ἑτέροις μέτροις. ἀναγκαίας τοίνυν τῆς μετρήσεως οὔσης εἰς πάντα ἄνθρωπον φιλομαθῆ περιῆλθεν ἡ α* (cf. ibid. p. 138, 31). — **Procl.** in Euclid. prol. II p. 64, 17 Friedl. *λέγομεν ὅτι παρ' Αἰγυπτίοις μὲν εὑρῆ- ι πρῶτον ἡ γεωμετρία παρὰ τῶν πολλῶν ἱστόρηται ἐκ τῆς τῶν χωρίων ἀναμετρήσεως λαβοῦσα τὴν γένεσιν. γκαία γὰρ ἦν ἐκείνοις αὕτη διὰ τὴν ἄνοδον τοῦ Νείλου τοὺς προσήκοντας ὅρους ἑκάστοις ἀφανίζοντος.* — dem rem aliis verbis narrat **Anonymus** prol. phil. Porph. p. 7 = 23 Brd., anecd. Paris. ed. Cramer IV p. 393, 15 *αι γὰρ τοῦ Νείλου ἀνιόντος καὶ συγχέοντος τὰς ἀρούρας μετὰ τὴν ἀπόστασιν αὐτοῦ πόλεμοι ἐγίνοντο καὶ οι περὶ τὴν διανομὴν τῆς γῆς. ἐπενόησαν οὖν ὀροθέσιά τινα πρὸς δήλωσιν τῶν τόπων καὶ ἐπαύσαντο τοῦ ιμεῖν· διὸ καὶ ἄκαινα μέτρον κέκληται παρ' αὐτοῖς παρὰ τὴν στέρησιν τοῦ φόνου· καίνω γὰρ τὸ φονεύω.* em verba leguntur apud **Ammonium** Hermiae in Laurent. plut. 71 cod. 3 fol. 4 ubi tamen ordo verborum est *τὴν τῆς γῆς διανομήν.* — **Anonym.** proleg. p. 421, 22 Cram. *εὗρον δὲ τὴν μὲν ἀριθμητικὴν Φοίνικες· ἐμ- ικώτατοι γὰρ ὄντες ἐδεήθησαν ψήφων. τὴν δὲ μουσικὴν εὗρον οἱ Θρᾷκες ὡς ἄγαν πολεμικοὶ ὄντες. ἣ γὰρ ις ἀποκλείουσα τὸ θερμὸν ἐν τῷ βάθει δριμύτερον αὐτὸ ποιεῖ. ὅθεν καὶ θυμώδεις εἰσὶ καὶ πολεμικοὶ τῇ τοῦ θερμοῦ καὶ ὀρχηστικοὶ δὲ διὰ τὰς ἑτοίμους ἐπιβουλὰς* (ἀποφυγὰς Paris. 1977) *τῶν βελῶν. ἔστι γὰρ πυρρίχιος παρ' αὐτοῖς ὄρχησις ὅ ἐστιν ἔνοπλος κατὰ τὸ εἰρημένον τῷ ποιητῇ*

Μηριόνη τάχα κέν σε καὶ ὀρχηστὴν περ ἐόντα.

ι καὶ ἐμβατήρια μέλη ἐστὶ παρ' αὐτοῖς. τὴν δὲ γεωμετρίαν εὗρον Αἰγύπτιοι, ὡς καὶ ἀνωτέρω εἴρηται διὰ ἀνιόντα τὸν Νεῖλον συγχεῖν τὰ ὀροθέσια αὐτῶν. τὴν δὲ ἀστρονομίαν εὗρον Χαλδαῖοι ὡς καθαρὸν οἰκοῦν- ιέρα· ἀνατολικοὶ γὰρ ὄντες τῇ θερμότητι τοῦ ἡλίου ἔχουσι λεπτυνομένην ἑτοίμως τὴν ἀτμίδα. τρίτου κλίματος Ἀλεξάνδρεια Ἀφρικὴ καὶ Περσίς.

§ 31 (p. 15, 20) **Plato** Epinom. c. 9 p. 987 A *παλαιὸς γὰρ δὴ τόπος ἔθρεψε τοὺς πρώτους ταῦτα ἐν- σαντας διὰ τὸ κάλλος τῆς θερινῆς ὥρας, ἣν Αἴγυπτός τε καὶ Συρία ἱκανῶς κέκτηται, φανεροὺς μὲν ὡς ς εἰπεῖν ἀστέρας ἀεὶ ξύμπαντας καθορῶντας ἅτε νεφῶν καὶ ὑδάτων ἀπόπροσθεν ἀεὶ τοῦ κόσμου κατῳκισμέ- ς· ὅθεν καὶ πανταχόσε καὶ δεῦρ' ἐξήκει.*

§ 32 (p. 15, 34) **Anatolius** in Heron. p. 433 Mart., p. 279, 3 Hultsch (Fabric. III 462) *τίνα τίσι προσεγγίζει μαθημάτων; συνεγγίζει μᾶλλον τῇ μὲν ἀριθμητικῇ ἡ λογιστικὴ καὶ ἡ κανονική (καὶ γὰρ αὕτη ἐν πόσον τι λα- σα κατὰ λόγους ἀριθμοὺς καὶ ἀναλογίας πρόεισι), τῇ δὲ γεωμετρίᾳ ἡ ὀπτικὴ καὶ ἡ γεωδαισία, ἀμφοτέραις δὲ καὶ πλέον ἡ μηχανικὴ καὶ ἡ ἀστρολογική.* — Ibid. p. 421 M. *περὶ λογιστικῆς. λογιστική ἐστι θεωρία ἡ τῶν ἀριθμη- , οὔτι δὲ τῶν ἀριθμῶν μεταχειριστική, οὐ τὸν ὄντως ἀριθμὸν λαμβάνουσα ὑποτιθεμένη δὲ τὸ μὲν ἓν ὡς μονάδα, δὲ ἀριθμητὸν ὡς ἀριθμόν· οἷον τὰ τρία τριάδα εἶναι καὶ τὰ δέκα δεκάδα, ἐφ' ὧν ἐπάγει τὰ κατ' ἀριθμητικὴν θεω- ματα. θεωρεῖ οὖν τὸ μὲν κληθὲν ὑπ' Ἀρχιμήδους βοϊκὸν πρόβλημα, τοῦτο δὲ μηλίτας καὶ φιαλίτας ἀριθμούς, ς μὲν ἐπὶ φιάλῃ τοὺς δὲ ἐπὶ ποίμνης καὶ ἐπ' ἄλλων γενῶν τὰ πλήθη τῶν αἰσθητῶν σωμάτων σκοποῦσα, ὡς μιον ἀποφαίνεσθαι.* — p. 425 *ὅρος γεωδαισίας. γεωδαισία ἐστὶν ἐπιστήμη τῶν ἐν τοῖς αἰσθητοῖς σώμασι θῶν καὶ σχημάτων διαιρετικὴ καὶ συνθετική.* — **Procl.** in Euclid. prol. I p. 39, 20 *γεωδεσία δὲ καὶ λογιστικὴ ταις ἀνάλογον οὐ περὶ νοητῶν ἀριθμῶν ἢ σχημάτων ἀλλὰ περὶ αἰσθητῶν ποιούμενοι τοὺς λόγους.* — Ibid. 40, 9 *πάλιν ὀπτικὴ καὶ κανονικὴ γεωμετρίας εἰσὶ καὶ ἀριθμητικῆς ἔκγονοι.* — p. 40, 22 *ἡ δ' αὖ κανονικὴ*

τοὺς φαινομένους λόγους τῶν ἁρμονιῶν σκοπεῖται τὰς τῶν κανόνων κατατομὰς ἀνευρίσκουσα καὶ τῇ αἰσθήσει πανταχοῦ προσχρωμένη καί, ὥς φησιν ὁ Πλάτων, ὦτα τοῦ νοῦ προστησαμένη.

§ 34 (p. 16, 11). Θεοδόσιος ἐν τοῖς σφαιρικοῖς] cf. Strabo XII p. 566 ἐν Βιθυνίᾳ γεγόνασιν ... καὶ Ἵππαρχος καὶ Θεοδόσιος καὶ οἱ παῖδες αὐτοῦ μαθηματικοί. Suidas s. v. (ed. Bernhardy c. 1132, 8, cf. Hesych. ed. Flach p. 94) mathematicum cum philosopho sceptico confudit, qua re decepti Fabricius (IV 21 Harl.) eumque secutus Cantor (Vorles. ü. Gesch. d. Math. I 346 s.) Tripolitanum illum fuisse contenderunt. — In Theodosii sphaeric. ed. Hunt (Oxon. 1707) nihil eorum demonstratur, quae David eum exposuisse dicit.

§ 35 (p. 16, 13). φησὶν ὁ Ὀλυμπιόδωρος] nescio ubi.

p. 16, 15. Hom. *B* 486

ἡμεῖς δὲ κλέος οἶον ἀκούομεν οὐδέ τι ἴδμεν.

Quae a Davide § 38 ss. p. 16, 27 ss. de octo modis dividendi exponuntur ratione habita partitionis philosophiae, de eisdem Porphyrius disputat in libro de prosodia (anecd. Graec. ed. Villoison II p. 105 ss.) sed ita ut ad prosodiae partes ubique spectet. incipit autem Porphyrii locus ab his verbis ζητητέον κατὰ ποῖον τρόπον τῆς διαιρέσεως διαιρεῖται ἡ προσῳδία εἰς τέσσαρα· ὀκταχῶς γὰρ γίνεται ἡ διαίρεσις. ἔστι γὰρ καὶ ἀπὸ γένους εἰς εἴδη cet. sequuntur iidem octo dividendi modi iisdem fere exemplis illustrati. inde a verbis ὡς ὅταν τὴν κεφαλὴν (p. 105, 21 = p. 17, 4 ss. Dav.) usque ad ὠνομάζομεν αὐτά (ib. v. 39 = p. 17, 22 Dav.) ad literam fere cum Davide consentit. huius explicationi, qua tres tantum esse dividendi modos efficere conatur, apud Porphyrium nulla respondent, sed paullo post respicitur p. 107, 16. praeterea quae scripta erant in folio codicis M, quod intercidisse inter fol. 156 et 157 necesse est (desiderantur autem cum alia tum certe capitis 12 prima verba), non multum diversa fuisse verisimile est ab iis quae apud Porphyrium legimus p. 105, 39 — 107, 2 ὠκταχῶς οὖν γενομένης τῆς διαιρέσεως ζητητέον, κατὰ ποῖον τρόπον γίνεται τῆς προσῳδίας ἡ διαίρεσις ἡ εἰς τόνους εἰς χρόνους καὶ τὰ λοιπά. τινὲς μὲν λέγουσιν ὅτι ἀπὸ ὁμωνύμου φωνῆς ἐστιν ἡ διαίρεσις εἰς διάφορον σημαινόμενον. οὐ καλῶς δὲ λέγουσι, διότι ... ἕτερον καὶ πάλιν φασὶν ὅτι ἀπὸ ὅλου γέγονεν εἰς μέρη ὁμοιομερῆ ἡ διαίρεσις, ἐπεὶ ... ἔτι δὲ οὐδὲ ὡς γένος εἰς εἴδη διαιρεῖται ἡ προσῳδία εἰς τόνους καὶ τὰ λοιπά. εἰ γὰρ καὶ ... ἀλλ' οὔτε δὲ ἀπὸ συμβεβηκότων εἰς οὐσίαν γίνεται ἡ διαίρεσις. τὸ γὰρ λέγειν ὅτι ... ἀλλ' οὔτε δὲ ἀπὸ οὐσίας εἰς συμβεβηκότα γίνεται διαίρεσις. τὸ λέγειν γὰρ ὅτι ... ἀλλ' οὔτε δὲ ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα γίνεται διαίρεσις. ἢ γὰρ ἀπὸ γένους εἰς εἴδη γίνεται ἡ διαίρεσις κτλ. cuius disputationis summa est haec: divisionem prosodiae nulli ex octo illis modis adscribendam esse, quippe quae non διαίρεσις sed ὑποδιαίρεσις sit putanda. — Sex dividendi modos enumerat David in proleg. in V voces Porphyrii cod. Paris. 1938 fol. 47v τὰ διαιρούμενα εἴς τινα κατὰ ἓξ τρόπους διαιρεῖται· ἤτοι ὡς γένος εἰς εἴδη ὥσπερ τὸ ζῷον εἰς ἄνθρωπον καὶ ἵππον καὶ κύνα· ἢ ὡς εἶδος εἰς ἄτομα ὥσπερ ὁ ἄνθρωπος εἰς Ἀλκιβιάδην Σωκράτην καὶ Πλάτωνα· ἢ ὡς ὅλον εἰς μέρη ὥσπερ ὁ Σωκράτης εἰς κεφαλὴν χεῖρας καὶ πόδας· ἢ ὡς ὁμώνυμος φωνὴ εἰς διάφορα σημαινόμενα ὥσπερ ὁ κύων εἰς τὸν γηγενῆ καὶ θαλάττιον καὶ ἀστρῷον· ἢ ὡς οὐσία εἰς συμβεβηκότα οἷον ὁ ἄνθρωπος εἰς ἄνδρα καὶ γυναῖκα (ταῦτα γὰρ οὐδὲν διαφέρει κατὰ τὴν οὐσίαν ἀλλὰ κατὰ τὰ συμβεβηκότα, φημὶ δὲ κατὰ τὰ ἐξέχοντα μόρια· οὕτω γὰρ καὶ ὁ Γαληνός φησιν ὅτι οὐδὲν διαφέρει τὸ γύναιον τοῦ ἀνδρὸς εἰ μὴ κατὰ τὰ μόρια)· ἢ ὡς συμβεβηκὸς εἰς οὐσίαν ὡς τὸ λευκὸν εἰς κύκνον καὶ χιόνα καὶ ψιμμίθιον. — cf. praeterea Simplicius in categ. fol. 15γ.

§ 68 (p. 21, 10). ὥς φησιν ὁ Πλάτων] nescio ubi.

§ 69 (p. 21, 15). Diogen. V 28 διττὸν (βούλεται ὁ Ἀριστοτέλης) εἶναι τὸν κατὰ φιλοσοφίαν λόγον, τὸν μὲν πρακτικὸν τὸν δὲ θεωρητικόν· καὶ τοῦ πρακτικοῦ τόν τε ἠθικὸν καὶ πολιτικόν, οὗ τά τε περὶ πόλιν καὶ τὰ περὶ οἶκον ὑπογεγράφθαι. — Albinus Peripateticorum partitionem in Platonem transfert in isag. c. 3 p. 153 Herm. τῆς δὲ πρακτικῆς τὸ μὲν θεωρεῖται περὶ τὴν τῶν ἠθῶν ἐπιμέλειαν, τὸ δὲ περὶ τὴν τοῦ οἴκου προστασίαν, τὸ δὲ περὶ πόλιν καὶ τὴν ταύτης σωτηρίαν· τούτων τὸ μὲν πρῶτον ἠθικὸν κέκληται, τὸ δὲ δεύτερον οἰκονομικόν, τὸ δὲ λοιπὸν πολιτικόν. — Chalcid. in Timaeum p. 361 Meurs. id porro (actuosum genus philosophiae) dividitur trifariam in moralem domesticam publicam. — Anonym. prolegom. p. 9a 31 Brand. λεκτέον τὴν διαίρεσιν τοῦ πρακτικοῦ· τοῦτο γὰρ μόνον λείπει τῇ διαιρέσει. διαιρεῖ τοίνυν τοῦτο ὁ Ἀριστοτέλης εἰς τρία, εἰς ἠθικὸν οἰκονομικὸν πολιτικόν· ὁ γὰρ πρακτικὸς φιλόσοφος ἀνθρωπείας ψυχὰς κοσμεῖν ἐπαγγελλόμενος ἢ ἀφ' ἑαυτοῦ ἄρχεται τοῦ κόσμου καὶ λέγεται ἠθικός (γελοίως γὰρ ἄλλους ἐπαγγέλλεται κοσμεῖν αὐτὸς ἄκοσμος ὤν), ἢ ὀλίγους κοσμεῖ καὶ λέγεται οἰκονομικός, ἢ πολλοὺς καὶ λέγεται πολιτικός.

p. 21, 20. ἔνθα λέγει] cf. Aristot. fragm. 178 p. 1507b 16 sqq. Rose. Anonym. prolegom. p. 425, 1 Cramer. David in categor. p. 25b 6 Brand.

§ 71 (p. 21, 37). Anonym. proleg. p. 9b 3 Br., p. 228, 29 Cram. verbis et rebus aliquantum discrepans ἐγκαλοῦσι δὲ οἱ Πλατωνικοὶ τῇ τοιαύτῃ διαιρέσει τέσσαρα ἐγκλήματα· πρῶτον ὅτι ἐν οὐδεμιᾷ διαιρέσει τὸ γένος ἐνὶ εἴδει ἑαυτῇ πάντῃ ταὐτόν ἐστιν ... δεύτερον ἔγκλημα ὅτι ἐν οὐδεμιᾷ διαιρέσει τὰ εἴδη περιέχει

. . . *τρίτον ἔγκλημα ὅτι οὐκ ἀεὶ ἐὰν ὀλίγους κοσμεῖ λέγεται οἰκονομικός, εἰ δὲ πολλούς, πολιτικός . . .*
ον ἔγκλημα ὅτι εἰ δῶμεν ἀπὸ τοῦ ποσοῦ τῶν ὠφελουμένων τὰς ἕξεις διαιρεῖσθαι τῷ ἢ ἕνα ὠφελεῖν ἢ
ς ἢ πολλούς, λύσαιμεν ἂν οὕτως πᾶσαν τέχνην καὶ ἐπιστήμην διαιροῦντες· πᾶσα γὰρ τέχνη καὶ ἐπιστήμη
ν ἔχει ἢ ἕνα ὠφελεῖν ἢ ὀλίγους ἢ πολλούς.

§ 72 (p. 22, 20). Anonym. prol. p. 9b 12, p. 424, 22 Cram. *ταύτην τὴν διαίρεσιν ὡς κακῶς ἔχουσαν ισάμενοι οἱ Πλατωνικοὶ λέγουσιν ἑτέραν διαίρεσιν. διαιροῦσι τοίνυν τὸ πρακτικὸν εἰς δύο, εἰς νομοθε- καὶ δικαστικόν, διότι ὁ πρακτικὸς φιλόσοφος ἠθῶν ὢν ἐπανορθωτὴς καὶ νόμους τίθησι, καθ' οὓς δεῖ οὺς εὖ βιώσοντας, καὶ ἐπιτίμια ὁρίζει, οἷς δεῖ ὑποπίπτειν τοὺς μὴ ἐμμείναντας τοῖς προεκθεῖσι νόμοις.*

§ 73 (p. 22, 30). *ὁ ποιητης*] Hom. Ξ 322
ἢ τέκε μοι Μίνω τε καὶ ἀντίθεον Ῥαδάμανθυν.

§ 74 (p. 23, 5). In cod. Monac. 222 fol. 3r adscriptum est hoc schema

ἡ φιλοσοφία διαιρεῖται

- *εἰς θεωρητικόν*
  - *εἰς πραγματικόν*
    - *εἰς θεολογικόν πάντη ἄυλον*
    - *εἰς μαθηματικόν πῆ μὲν ἄυλον πῆ δὲ ὑλικόν*
    - *εἰς φυσιολογικόν πάντη ὑλικόν*
  - *εἰς λογικόν*
    - *πάντη ἀληθῆ τὴν ἀποδεικτικήν*
    - *ἐπιπλέον ἀληθῆ τὴν διαλεκτικήν*
    - *ἐπίσης ἀληθῆ τὴν ῥητορικήν*
    - *ἐλλιπῆ ἀληθῶν τὴν σοφιστικήν*
- *εἰς πρακτικόν*
  - *ἠθικόν*
    - *νομοθετικόν.*
    - *δικαστικόν*
  - *οἰκονομικόν*
    - *νομοθετικόν*
    - *δικαστικόν*
  - *πολιτικόν*
    - *νομοθετικόν*
    - *δικαστικόν*

συνεχὲς ποσόν — *διωρισμένον ποσόν*

νητον *κινούμενον* *πρός τι* *καθ' αὐτό*
ιετρίαν ἀστρονομίαν μουσικὴν ἀριθμητικήν

p. 23, 11. *τινὲς γάρ*] Platonici cf. adn. ad § 2 p. 28.

p. 23, 12. Ineptum est de ordine partium loqui priusquam quae sint partes exposueris. quod cum I, 9 demum doceatur, quaecunque leguntur a verbis *νῦν δὲ λέγομεν* usque ad *συμμεταβάλλεσθαι* p. 23, 28 prorsus ab hac disputatione aliena et inserta sunt aut in alium locum, ubi de mathematicarum rerum digni- et condicione agitur velut p. 25, 2 transponenda, cf. Gal. p. 7, 1 ss., David. p. 11, 22 ss.

p. 23, 29 — 24, 9] locus ad rem aptissimus qui nescio an a Galeno et Davide immerito sit omissus.

p. 24, 10. *εἰς δύο — τὸ μὲν πραγματικόν*] haec verba a M male inculcata esse elucet comparato loco Ven. f. 18v 15 *ἡ δὲ λογικὴ οὐ μέρος τῆς φιλοσοφίας ἀλλ' ὄργανον, ὡς ἐν ἑτέροις δείξομεν.*

p. 24, 11 — 24, 28] cf. supra Galen. § 4. Anonym. prol. in adn. p. 28 inf.

p. 24, 21. *ὥσπερ εἰ κηρὸς κτλ.*] cf. Galen. § 4. p. 6, 20.

p. 24, 28 — 25, 2] his nulla apud Galenum respondent.

p. 25, 3 et 8 ss. cf. Galen. § 6.

p. 25, 5. Uberius rem tractavit Galen. § 10 ss. in alio rerum contextu.

p. 25, 7. *διό φησι Πλωτῖνος*] cf. Galen. § 8 p. 7, 19.

p. 25, 12. cf. Galen. § 9.

p. 25, 14 ss. cf. Anonym. proleg. phil. p. 8b 34 Br., p. 420, 21 Cr. *τοῦ θεωρητικοῦ εἰς τρία διαιρε- τος, εἰς φυσικὸν μαθηματικὸν θεολογικόν, μόνον τοῦ μαθηματικοῦ τὴν διαίρεσιν οἱ ἐξηγηταὶ νῦν αδιδόασιν ὡς ἂν τούτου συμμέτρως ἔχοντος πρὸς εἰσαγομένους. ἐφ' οἷς εἴπωμεν τὴν ὑποδιαίρεσιν μαθηματικοῦ. διαιρεῖται τοίνυν εἰς δ̄ ἀριθμητικὴν μουσικὴν γεωμετρίαν ἀστρονομίαν. καὶ εἰκότως, δὴ ἡ μαθηματικὴ περὶ ἀριθμὸν καταγίνεται καὶ μέγεθος· τοῦ δὲ ἀριθμοῦ τὸ μὲν καθ' αὐτὸ τὸ ἐν σχέσει, τοῦ δὲ μεγέθους τὸ μὲν ἀκίνητον τὸ δε κινούμενον. καὶ περὶ μὲν τὸν καθ' αὐτὸ ἀριθμὸν γίνεται ἡ ἀριθμητικὴ ζητοῦσα τὰς φύσεις τῶν ἀριθμῶν καὶ τὰ πάθη ὡς ὅταν λέγῃ· τῶν ἀριθμῶν*

οἱ μὲν ἄρτιοι οἱ δὲ περιττοί, καὶ τούτων τὰ εἴδη· οὐδεμίαν γὰρ ἔμφασιν ἑτέρου ἀριθμοῦ παρέχει. εἰ δὲ εἴπῃ διπλάσιον τριπλάσιον, ἔμφασιν καὶ ἑτέρου παρέχει ποῦ μὲν ἡμίσεος ποῦ δὲ τρίτου.

p. 25, 22 cf. Anonym. proleg. p. 421, 19 Cram. ἡ δὲ γεωμετρία περὶ ἀκίνητον μέγεθος καταγίνεται καὶ περὶ τὰ σχήματα τῆς γῆς, ἡ δὲ ἀστρονομία περὶ κινούμενον μέγεθος, οὐ μόνον δὲ κινούμενον ἀλλ' ἀεικίνητον· φαντασίας γὰρ μόνης ἐστὶν ἡ δοκοῦσα αὐτῶν εἶναι στάσις.

p. 25, 23 cf. Anonym. proleg. p. 421, 1 Cram. ἡ δὲ μουσικὴ περὶ τὸν ἐν σχέσει ἀριθμὸν καταγίνεται ζητοῦσα· ποῖον λόγον ἔχει ἡ ἀπήχησις τῆσδε τῆς χορδῆς πρὸς τῆνδε; ἆρα διπλάσιον πολλαπλάσιον ἡμιόλιον; διὸ καὶ ἀποροῦσιν ὅτι εἰ ἡ μουσικὴ περὶ συμμετρίαν φθόγγων καταγίνεται καὶ ἀσυμμετρίαν, πῶς περὶ τὰς σχέσεις τῶν ἀριθμῶν λέγουσιν αὐτὴν καταγίνεσθαι; καὶ λέγομεν οτι μήποτε τῆς κατὰ Πυθαγόραν μουσικῆς ταῦτα εἴρηται ὡς ἀυλοτέρας οὔσης, ἥτις οὐ προσποιεῖται ὕλην ἢ φθόγγους, ἀλλ' αὐτὰς τὰς σχέσεις τῶν ἀριθμῶν θεωρεῖ καταμόνας.

p. 25, 23 ss. cf. Anonym. proleg. 422, 35 Cram. ἀποροῦσι δέ τινες ὅτι εἰ πάντα τὰ μαθήματα δεῖται τῆς τῶν Μουσῶν ἐπινοίας, διὰ τί μόνη λέγεται μουσική; πρὸς ὅ φαμεν ὅτι ταύτης μόνης ἔργον πάθη ψυχῆς ἰᾶσθαι καὶ σώματος· διὸ καὶ ἡ φιλοσοφία μεγίστη μουσικὴ ὡς πάθη ψυχῆς ἰωμένη, ὅθεν καὶ ἰατρικὴ ψυχῶν λέγεται. ὅτι δὲ ἰᾶται ψυχῶν πάθη ἡ μουσική, φασί ποτε τὸν Πυθαγόραν θεασάμενον παιδάριον ἑπόμενον κόρῃ αὐλούσῃ ἐπιτρέψαι αὐτῇ στρέψαι τοὺς αὐλοὺς καὶ τοῦ μέλους διαφθαρέντος ἔπαυσεν αὐτὸν τοῦ ἐρᾶν. ἀλλὰ καὶ μέχρι τῆς σήμερον ἔχομεν ᾄσματα (Paris. 1977, ἐνᾴσματα Coisl. 387) |μουσικά· ἀκούσαντες γὰρ θεατρικῶν μελῶν ἐκνενευρισμένοι γινόμεθα καὶ ἔκλυτοι, πολεμικῶν δὲ τοὐναντίον. καὶ τὰ βοσκήματα τῇ τοιᾷδε σίριγγι πείθεται εἰς νομὴν ἐξιόντα καὶ σάλπιγξ ἐν πολέμῳ τοὺς ἵππους παρορμᾷ καὶ διεγείρει. His verbis cum Ammonii loco comparatis veri simile fit narratiunculam de Pythagora inepto loco insertam itaque factum esse, ut cohaerentia divellerentur. nam verba ἀκούσαντες γὰρ ss. ad proxima ἀλλὰ καὶ — μουσικὰ non possunt referri, ad superiora illa ὅτι δὲ ἰᾶται ψυχῶν πάθη ἡ μουσική possunt.

p. 26, 1 cf. Galen. p. 8, 3 ss.

p. 26, 20. Loci de serie partium mathematicae (§ 22 ss.) et de singularum artium inventoribus (§ 29 ss.) apud Ammonium desunt, sed alterum de inventione Anonymus servavit cf. supra p. 32 med.

p. 26, 21 cf. Dav. § 68 p. 21, 7.

p. 26, 23 cf. Dav. § 69 p. 21, 16.

p. 26, 25 τινὲς δέ φασιν] Platonici ut supra p. 23, 11 cf. Dav. p. 22, 14 ss.

p. 26, 29 cf. Dav. § 72 p. 22, 21.

p. 26, 30 cf. Anonym. proleg. p. 426, 8 Cram. ἔστι καὶ ἑαυτῷ νομοθετεῖν καὶ δικάζειν· νομοθετεῖν μὲν ὡς ἡνίκα ἐπᾴδωμεν ἑαυτοῖς τὰ τῷ ὄντι χρυσᾶ ἔπη Πυθαγόρου τὸ 'πάντων δὲ μάλιστα αἰσχύνεο σαυτόν'· τοῦτο γὰρ νόμος καὶ κρηπὶς ἀσφαλὴς ἀρίστου βίου. — — — καὶ δικάζειν δέ ἐστιν ἑαυτῶν ὡς ἡνίκα πάλιν ἐπᾴδωμεν ἑαυτοῖς τὰ αὐτὰ χρυσᾶ ἔπη· (vv. 40—44 Mullach.)

μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
αἰσχρὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο, ἐσθλὰ δὲ τέρπου.

ἀλλὰ καὶ οἴκῳ ἔστι νομοθετεῖν καὶ δικάζειν. νομοθέτης γὰρ καὶ δικαστὴς ὁ κύριος τῆς οἰκίας τοὺς μὲν πειθομένους τοῖς αὐτοῦ λόγοις ἐκτρέφων τοὺς δὲ μὴ πειθομένους ἐκβάλλων. ἀλλὰ καὶ πόλει ἔστι νομοθετεῖν καὶ δικάζειν· ποῦ γὰρ οἰκειότερον ταῦτα πραχθείη ἢ ἐν πόλει;

p. 27, 1 ex Aureo Pythagoreorum carmine v. 9 (Mullach. fragm. phil. I p. 193), Stob. floril. 1, 15 p. 3 Mein.

p. 27, 2 Isocrates ad Demonic. 16 cf. Stob. floril. 5, 55 p. 119 Mein. Orion. anthologn omic. 3, 6 (IV p. 254 Mein.).

p. 27, 5 Aureum carm. 40—44 p. 195 Mull.

p. 27, 16 Apollon. Rhod. Argonaut. I 943

Γηγενέες μέγα θαῦμα περικτιόνεσσιν ἰδέσθαι·
ἓξ γὰρ ἑκάστῳ χεῖρες ὑπέρβιοι ἠερέθονται,
αἱ μὲν ἀπὸ στιβαρῶν ὤμων δύο, ταὶ δ' ὑπένερθεν
τέσσαρες αἰνοτάτῃσιν ἐπὶ πλευρῇς ἀραρυῖαι.

5*

Anonymi schema (cod. Coislin. 387 f. 36r)

Διαιρεῖται ἡ φιλοσοφία εἰς δύο

εἰς θεωρητικὸν — καὶ πρακτικόν.

εἰς θεωρητικὸν: φυσικόν. μαθηματικόν. θεολογικόν.

μαθηματικόν: ἀριθμητικήν. μουσικήν. γεωμετρίαν. ἀστρονομίαν.

καὶ πρακτικόν. κατὰ Ἀριστοτέλην: ἠθικόν. οἰκονομικόν. πολιτικόν.

πολιτικόν: νομοθετικόν. δικαστικόν.

Berolini typis Pormetteri.

